# Lettre à Hérodote d'Epicure = DL X, 35-83 - éd. Usener

**Auteurs : Diogène Laërce ; Epicure**

## Les folios

En passant la souris sur une vignette, le titre de l'image apparaît.

30 Fichier(s)

## Mots clés

Usener, Hermann (1834-1905)

## Présentation du document

Date1887
Mentions légales

- Responsabilité éditoriale : Department of Philosophy and Cultural Heritage of University Ca' Foscari of Venice ; EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle). Licence Creative Commons Attribution – Partage à l'Identique 3.0 (CC BY-SA 3.0 FR)
- Texte : Domaine public

Editeur de la ficheDepartment of Philosophy and Cultural Heritage of University Ca' Foscari of Venice ; EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle)
Contributeur(s)

- Giovacchini, Julie
- Marchand, Stéphane

Langue

- Français
- Grec ancien

SourceVoir description détaillée du texte : CIRIS

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

# Contenus reliés

**Collection Ep. Lettre à Hérodote**

Lettre à Hérodote d'Epicure = DL X, 35-83 - éd. Frobenius
*est une version de ce document*
Lettre à Hérodote d'Epicure = DL X, 35-83 - éd. Mühll
*est une version de ce document*
Lettre à Hérodote d'Epicure = DL X, 35-83 - éd. Hicks
*est une version de ce document*

# Description du document

DescriptionReproduction de l'édition de Usener (= #Us) accompagnée d'une transcription indexée et enrichie de notes critiques.

Variantes signalées pour le texte grec :

R. D. Hicks, Lives of Eminent Philosophers. Diogenes Laertius. Cambridge. Harvard University Press, 1972 (First published 1925) = #Hic

Miroslav Marcovich, Diogenes Laertius Vitae Philosophorum, Stuttgart, Teubner, 1999 = #Marc

Hermann Usener, Epicurea, Stuttgart, Teubner, 1887 = #Us
Tiziano Dorandi, Lives of Eminent Philosophers, Cambridge Univ ersity Press, 2013 = #Dor

Graziano Arrighetti, Epicuro. Opere, Nuova edizione riveduta e ampliata, Turin, Giulio Einaudi Editore, 1973 = #Arr

Voir description détaillée de l'édition : CIRIS
Notice créée par Julie Giovacchini Notice créée le 23/06/2021 Dernière modification le 19/07/2022

---

ἀμετάβατα ἱκανὴ τὸ μέχρι τούτου συντελέσαι. συμφόρησιν δὲ ἐκ τούτων κίνησιν ἐχόντων οὐχ οἷόν τε γενέσθαι.

Καὶ μὴν καὶ τοῦ ἀπείρου ὡς μὲν ἀνωτάτω καὶ κα- 60
τωτάτω, οὐ δεῖ κατηγορεῖν * * τὸ ἄνω ἢ κάτω· εἰς μέντοι τὸ ὑπὲρ κεφαλῆς, ὅθεν ἂν στῶμεν, εἰς ἄπειρον τεῖνον μηδέποτε φανεῖσθαι τοῦτο ἡμῖν· ἢ τὸ ὑποκάτω τοῦ νοηθέντος εἰς ἄπειρον ἅμα ἄνω τε εἶναι καὶ κάτω πρὸς τὸ αὐτό· τοῦτο γὰρ ἀδύνατον διανοηθῆναι. ὥστε ἔστι μίαν λαβεῖν φορὰν τὴν ἄνω νοουμένην εἰς ἄπειρον καὶ μίαν τὴν κάτω, ἂν καὶ μυριάκις πρὸς τοὺς πόδας τῶν ἐπάνω τὸ παρ' ἡμῶν φερόμενον ⟨ἐς⟩ τοὺς ὑπὲρ κεφαλῆς ἡμῶν τόπους ἀφικνῆται ἢ ἐπὶ τὴν κεφαλὴν τῶν ὑποκάτω τὸ παρ' ἡμῶν κάτω φερόμενον· ἡ γὰρ ὅλη φορὰ οὐθὲν ἧττον ἑκατέρα ἑκατέρᾳ ἀντικειμένη ἐπ' ἄπειρον νοεῖται.

Καὶ μὴν καὶ ἰσοταχεῖς ἀναγκαῖον τὰς ἀτόμους εἶναι, 61
ὅταν διὰ τοῦ κενοῦ εἰσφέρωνται μηθενὸς ἀντικόπτοντος. οὔτε γὰρ τὰ βαρέα θᾶττον οἰσθήσεται τῶν μικρῶν καὶ κούφων, ὅταν γε δὴ μηδὲν ἀπαντᾷ αὐτοῖς· οὔτε τὰ μικρὰ ⟨βραδύτερον⟩ τῶν μεγάλων, πάντα πόρον σύμμετρον ἔχοντα, ὅταν μηθὲν μηδὲ ἐκείνοις ἀντικόπτῃ· οὔθ' ἡ ἄνω οὔθ'

1 ἀμετάβολα libri. cf. p. 17, 3 sq. | τούτου τελέσαι F ‖ 2 δὲ] καὶ F | εἰόν τε G ‖ 3 καὶ τοῦ] τοῦ F | καὶ κατωτάτω BFQ: ἢ κατ. GHPf ‖ 4 hiatum notavi | εἰς μέντοι $H^2P^2$Q ἴσμεν τοι $BP^1$: μέντοι $FGH^2$f, γρ mg $P^2$ ‖ 5 τὸ] τῷ G, f | στῶμεν BHPQ: τὸ μὲν FGf mg $P^3$ | τεῖνον] ἄγειν ὂν (ὃν FGf) libri ‖ 8 γ[ὰρ] $P^3$ | ὥστ' f | ἔστι om F ‖ 9 γρ τῶν ἄνω mg $P^3$ ‖ 10 τὴν] τῶν $P^6$ | καὶ post ἂν om H ‖ 11 φαινόμενον H | ἐς τούς] τοὺς libri, quod neglegenter iterat F ‖ 12 ἀφικν[ῆ]ται H ἀφικνῆσθαι F ‖ 13 φθορά· οὐδὲν F ‖ 14 ἑκατέρα εκάτέρα B ἑκάτερα (ἑκ- Q) ἑκατέρα $P^1$Q, mg $H^2$: ἑκάτερα $FHP^3$ ἑκατέρα G ἑκατέρᾳ f | νοεῖται] γε[ν]έσθαι. F ‖ 16 εἰσφέρωνται $GH^2P^3$f: εἰσφέρωντα $P^1$Q εἰσφέρονται $FH^1$ εἰσφέροντε B | μηθενὸς B: μηδενὸς reliqui ‖ 17 μικρῶν καὶ deleuit Gassendus, rectius puto τὰ ⟨μεγάλα καὶ⟩ βαρέα scripsisset ‖ 18 δὴ] δεῖ f | ἀπαντᾶ B et fort. $P^1$ ἄπαντα F: ἀπαντᾶν reliqui ‖ 19 βραδύτερον inserui ‖ 20 ἐκείνης ἀντικόπτειν G | οὔθ' ἡ κτλ. licentius adnexa, quasi θάττων ἢ βραδυτέρα ἔσται dictum fuerit

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

τελείως εἰς τὰς τοιαύτας ἀναλύοντας ἐπιβολὰς τὰς πλείστας τῶν περιοδειῶν ὑπὲρ τῆς ὅλης φύσεως ποιεῖσθαι· ὅσοι δὲ μὴ παντελῶς αὐτῶν τῶν ἀποτελουμένων, ἐκ τούτων ἱκανὴν κατὰ τὸν ἄνευ φθόγγων τρόπον τὴν ἅμα νοήματι περίοδον τῶν κυριωτάτων πρὸς γαληνισμὸν ποιοῦνται.

---

5 ποιοῦνται. καὶ ἥδε μέν ἐστιν αὐτῷ ἐπιστολὴ περὶ τῶν φυσικῶν. Laertivs Diogenes

1 τελείως εἰς] τελειώσεις P$^1$Q τελείως B$^1$ | ἀναλύοντας om H$^1$ ‖ 2 περιοδείων F περιοδ[ιῶν] P$^2$ περιοδίων Q περιοδίῶν sic H περιοδῶν f ‖ 3 ὅσοι . . . . 4 τὸν ἄν- om B | ὅσοι H ut Gassendus: ὅσα reliqui | ἀποτελειουμένων Schneiderus ‖ 4 ἱκανὴν] εἰσὶν ἢ libri | κατὰ τῶν FGf | ἀνεύφθογγον P$^1$Q ἀνευφθογγον mg H εὔφθογγον B ἄνευ φθόνον H | τρόπων sed mg τρόπον H | νοήμασι f.

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

των ἀπολελύσθαι καὶ συνεχῆ μνήμην ἔχειν τῶν ὅλων καὶ κυριωτάτων.

Ὅθεν τοῖς πάθεσι προσεκτέον τοῖς παροῦσι καὶ ταῖς αἰσθήσεσι, κατὰ μὲν τὸ κοινὸν ταῖς κοιναῖς, κατὰ δὲ τὸ ἴδιον ταῖς ἰδίαις, καὶ πάσῃ τῇ παρούσῃ καθ' ἕκαστον τῶν κριτηρίων ἐναργείᾳ. ἂν γὰρ τούτοις προσέχωμεν, τὸ ὅθεν ὁ τάραχος καὶ ὁ φόβος ἐγίνετο ἐξαιτιολογήσομεν ὀρθῶς καὶ ἀπολύσομεν, ὑπέρ τε μετεώρων αἰτιολογοῦντες καὶ τῶν λοιπῶν τῶν ἀεὶ παρεμπιπτόντων, ὅσα φοβεῖ τοὺς λοιποὺς ἐσχάτως.

Ταῦτά σοι, ὦ Ἡρόδοτε, ἔστι κεφαλαιωδέστατα ὑπὲρ
83 τῆς τῶν ὅλων φύσεως ἐπιτετμημένα. ὥστ' ἐὰν γένηται δυνατὸς ὁ λόγος οὗτος κατασχεθεὶς μετ' ἀκριβείας, οἶμαι, ἐὰν μὴ καὶ πρὸς ἅπαντα βαδίσῃ τις τῶν κατὰ μέρος ἀκριβωμάτων, ἀσύμβλητον αὐτὸν πρὸς τοὺς λοιποὺς ἀνθρώπους ἁδρότητα λήψεσθαι. καὶ γὰρ καὶ καθαρὰ ἀφ' ἑαυτοῦ ποιήσει πολλὰ τῶν κατὰ μέρος ἐξακριβουμένων κατὰ τὴν ὅλην πραγματείαν ἡμῖν, καὶ αὐτὰ ταῦτα ἐν μνήμῃ τιθέμενα συνεχῶς βοηθήσει. τοιαῦτα γάρ ἐστιν, ὥστε καὶ τοὺς ⟨καὶ τὰ⟩ κατὰ μέρος ἤδη ἐξακριβοῦντας ἱκανῶς ἢ καὶ

1 ὅ[λ]ων B et G ‖ 3 πάθεσι etiam Bonnetus De Galeni subfig. empir. p. 82: πᾶσι libri | καὶ ταῖς αἰσθήσεσι in mg supplet F, om f ‖ 5 καὶ πᾶσι τοῖς παροῦσι F ‖ 6 προσέχομεν FG ‖ 7 γίνεται post u. τάραχος traiectum, in mg ἐγίνετο H | ἐξαιτιολογήσωμεν et 8 ἀπολύσωμεν B ‖ 8 μετεώρ[ων] B ‖ 9 περιπιπτόντων F | ὅσα] καὶ ὅσα FGP$^2$f | φοβῇ F ‖ 11 κεφαλαιοδέστερα FGf κεφαλαιωδέστερα mg P$^2$ | ὑπὲρ] περὶ F ‖ 12 ἐπιτεταγμένα B | ὥστε ἂν γένοιτο libri ‖ 13 δυνατὸς ὁ λόγος οὗτος F: οὗτος ὁ λόγος δυνατὸς ceteri | κατασχεθεὶς Gassendus: κατεσχέθη libri, nisi quod κατασχέθη H | μετὰ FGf ‖ 14 καὶ om FGHf ‖ 15 ἀσύμβλητον BHPQs: ἀσύγκριτον FGf, γρ mg P$^2$ | αὐτὸ B ‖ 16 καθαρὰν libri: corr. Gassendus | αὐτοῦ (ἀφ' om.) F ‖ 17 τῶν] τοῖς Gf | ἐξακριβούμενος BFHPQ ἐξακριβουμένοις Gf: corr. Gassendus ‖ 18 ἡμῖν] ἢ μ[ὴν] cum rec. litura B | ἐν μνήματι θέμενος f | τιθέμενα] τιθέμενος G ‖ 19 καὶ τοὺς κατὰ libri, τὰ inseruerat Meibomius

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

τας τῶν οὔτε ⟨τὸ⟩ μοναχῶς ἔχον ἢ γινόμενον γνωριζόν-
των οὔτε τὸ πλεοναχῶς συμβαῖνον τήν ⟨τ'⟩ ἐκ τῶν ἀπο-
στημάτων φαντασίαν παριδόντων, ἔτι τε ἀγνοούντων καὶ
ἐν ποίοις οὐκ ἔστιν ἀταρακτῆσαι. ἂν οὖν οἰώμεθα καὶ
ὡδί πως ἐνδεχόμενον αὐτὸ γίνεσθαι, ἐφ' οἵοις ὁμοίως
ἀταρακτῆσαι, αὐτὸ τὸ ὅτι πλεοναχῶς γίνεται γνωρίζοντες
ὥσπερ κἂν ὅτι ὡδί πως γίνεται εἰδῶμεν ἀταρακτήσομεν.
Ἐπὶ δὲ τούτοις ὅλως ἅπασιν ἐκεῖνο δεῖ κατανοεῖν, ὅτι 81
τάραχος ὁ κυριώτατος ταῖς ἀνθρωπίναις ψυχαῖς γίνεται
ἐν τῷ ταῦτα μακάριά τε δοξάζειν ⟨εἶναι⟩ καὶ ἄφθαρτα,
καὶ ὑπεναντίας ἔχειν τούτῳ βουλήσεις ἅμα καὶ πράξεις
καὶ αἰτίας, καὶ ἐν τῷ αἰώνιόν τι δεινὸν ἀεὶ προσδοκᾶν
ἢ ὑποπτεύειν κατὰ τοὺς μύθους εἴ τε καὶ αὐτὴν τὴν ἀναι-
σθησίαν τὴν ἐν τῷ τεθνάναι φοβουμένους ὥσπερ οὖσαν
κατ' αὐτούς, καὶ ἐν τῷ μὴ δόξαις ταῦτα πάσχειν ἀλλ'
ἀλόγῳ γέ τινι παραστάσει, ὅθεν μὴ ὁρίζοντας τὸ δεινὸν
τὴν ἴσην ἢ καὶ ἐπιτεταμένην ταραχὴν λαμβάνειν τῷ εἰ-
καίως δοξάζοντι ταῦτα· ἡ δὲ ἀταραξία τῷ τούτων πάν- 82

11 φλυαρεῖς margo B

1 τῶν] τὸ•ι h. e. τὸ correctum fort. ex τοδὶ F | οὔτε τὸ Gassendus: οὐδὲ libri ‖ 2 τήν τ'] τὴν libri ‖ 3 παραδιδόντων libri | ἔ[τ]ι Q ‖ 4 ἐν] ἐπὶ coni. Schneiderus | ἔστι Q | ἂν οὖν .... 6 ἀταρακτῆσαι om B | οὖν om $H^1$ ‖ 5 ὠδήπως F ὀδ•πως $P^1$ | γίνεσθαι] γίνεσθαι καὶ libri | ἐφ' οἵοις] ἐν ποίοις Q ••οίοις $P^1$ | ὁμοίως] ὁμοίως ἐστὶν GH ‖ 7 κἂν ὅ[τι κἂν ὠ δήπως] F | γίνονται BQ($P^2$) | ἀταρακτήσωμεν $BH^2PQ$ ‖ 8 ὅλως BHP ὅλοις FQ: om Gf | δεῖ ex δὲ corr. $P^1$ ‖ 9 mirum ni τάραχος μὲν Ep. scripsit, cf. l. 18 | ὁ in ras. B ‖ 10 μακαρία FH | εἶναι reposui ‖ 11 τούτῳ] ταῦτ(ας) F τούτοις reliqui | βουλήσεις ἅμα FGf: ἅμα βουλ. ceteri ‖ 12 αἰῶνι ὄν τι H | δινὸν $P^1$ | ἀεὶ] καὶ libri. cf. ep. II 102 ‖ 13 ἢ] καὶ FGf, γρ $P^2$ | εἴτε κατὰ ταύτην τὴν libri: corr. Casaubonus ‖ 14 τὴν ἐν] τῇ ἐν $P^1$? [τι] ἐν B | τεθνᾶναι F ‖ 15 κατ' coni. Casaubonus: καὶ libri | ταῦτα] ταύταις Gf | ἀλλ' ἀλόγῳ (ω in ras. H) $BGHP^2f$: ἀλλὰ λόγῳ $FP^1Q$ ‖ 16 πστάσει P περιστάσει sed in mg παραστάσει H ‖ 17 ἐπιτεταγμένην $H^1f$ | τῷ BGf: τὸ FHPQ | εἰ καὶ (ἐκεῖ G) ἐδόξαζον libri ‖ 18 ἡ] εἰ G | τῷ] τὸ libri

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

ταυτί, καὶ ὅσα συντείνει πρὸς τὴν εἰς τοῦτο ἀκρίβειαν·
ἔτι τε οὐ τὸ πλεοναχῶς ἐν τοῖς τοιούτοις εἶναι καὶ τὸ
ἐνδεχόμενον καὶ ἄλλως πως ἔχειν, ἀλλ' ἁπλῶς μὴ εἶναι
ἐν ἀφθάρτῳ καὶ μακαρίᾳ φύσει τῶν διάκρισιν ὑποβαλλόν-
των ἢ τάραχον μηθέν· καὶ τοῦτο καταλαβεῖν τῇ διανοίᾳ
79 ἔστιν ἁπλῶς εἶναι. τὸ δ' ἐν τῇ ἱστορίᾳ πεπτωκός, τῆς
δύσεως καὶ ἀνατολῆς καὶ τροπῆς καὶ ἐκλείψεως καὶ ὅσα
συγγενῆ τούτοις μηθὲν ἔτι πρὸς τὸ μακάριον τὰς γνώσεις
συντείνειν, ἀλλ' ὁμοίως τοὺς φόβους ἔχειν τοὺς ταῦτα
κατειδότας, τίνες δ' αἱ φύσεις ἀγνοοῦντας καὶ τίνες αἱ
κυριώταται αἰτίαι, καὶ εἰ μὴ προσῄδεισαν ταῦτα· τάχα δὲ
καὶ πλείους, ὅταν τὸ θάμβος ἐκ τῆς τούτων προσκατα-
νοήσεως μὴ δύνηται τὴν λύσιν λαμβάνειν καὶ τὴν περὶ
τῶν κυριωτάτων οἰκονομίαν. διὸ δὴ κἂν πλείους αἰτίας
εὑρίσκωμεν τροπῶν καὶ δύσεων καὶ ἀνατολῶν καὶ ἐκλεί-
ψεων καὶ τῶν τοιουτοτρόπων, ὥσπερ καὶ ἐν τοῖς* κατὰ
80 μέρος γινομένοις ἦν οὐ δεῖ νομίζειν τὴν ὑπὲρ τούτων
χρείαν ἀκρίβειαν μὴ ἀπειληφέναι, ὅση πρὸς τὸ ἀτάραχον
καὶ μακάριον ἡμῶν συντείνει. ὥστε παραθεωροῦντας πο-
σαχῶς παρ' ἡμῖν τὸ ὅμοιον γίνεται, αἰτιολογητέον ὑπέρ
τε τῶν μετεώρων καὶ παντὸς τοῦ ἀδήλου, καταφρονοῦν-

1 [τ]αυτ[ί] $B^{2}$ ταυτί• eraso ut Bonneto uisum μ cum α supra posito P | συντείνει] συγγενῆ libri | τήν] τῇ $B^{1}$ | τοῦτο h. e. τὸ μακάριον] τούτων B. cf. l. 18 sq. ‖ 2 ἐν τούτοις F ‖ 3 ἐνδεχομένω B ἐνδεχομένως FHPQs ἐνδεχομένας Gf: corr. Schneiderus p. 94 | πως om F sed cf. l. 6 ‖ 6 τοῦ . . . πεπτωκότος erunt qui coniciant | ἱστοριά πως F ‖ 7 ἐκλήψεως B ‖ 8 τῆς γνώσεως libri ‖ 10 κατιδόντας (καταδιδόντας B) libri | δ' αἱ B: δὲ HPQ δὲ αἱ FGf ‖ 11 κυριώτατοι B | προσείδησαν H προσήδισαν G προσήδησαν f | ταῦτα] ταῦτα δὲ deletum mg H | τάχα δὲ BHP¹Q τάχα [δὲ] cum rasura IV litterarum F: τὰ χαλεπὰ GP²f ‖ 12 πλεῖα Gf | προσκατανοήσ[εως] H ‖ 13 δυνήσεται Gf ‖ 14 κἂν] καὶ libri ‖ 15 εὑρίσκομεν libri ‖ 16 τῶν τοιούτων τρόπων (τροπῶν FGHP²f) libri: corr. Meibomius ‖ 17 γενομένοις F | ἦν] ἢ H ἡ ceteri libri ‖ 18 χρείαν] χρείαν καὶ G ‖ 20 τὸ ὅμον Q | αἰτιολογιτέον B

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

τούτοις μήτε λειτουργοῦντος τινὸς νομίζειν δεῖ γενέσθαι καὶ διατάττοντος ἢ διατάξοντος καὶ ἅμα τὴν πᾶσαν μακαριότητα ἔχοντος μετὰ ἀφθαρσίας (οὐ γὰρ συμφωνοῦσιν 77 πραγματεῖαι καὶ φροντίδες καὶ ὀργαὶ καὶ χάριτες μακαριότητι, ἀλλ' ἐν ἀσθενείᾳ καὶ φόβῳ καὶ προσδεήσει τῶν πλησίον ταῦτα γίνεται), μήτε αὖ πυρὸς ἀνάμματα συνεστραμμένου τὴν μακαριότητα κεκτημένα κατὰ βούλησιν τὰς κινήσεις ταύτας λαμβάνειν· ἀλλὰ πᾶν τὸ σέμνωμα τηρεῖν, κατὰ πάντα ὀνόματα φερόμενον ἐπὶ τὰς τοιαύτας ἐννοίας, ἵνα μηδ' ὑπεναντίαι ἐξ αὐτῶν ⟨γένωνται⟩ τῷ σεμνώματι δόξαι· εἰ δὲ μή, τὸν μέγιστον τάραχον ἐν ταῖς ψυχαῖς αὐτὴ ἡ ὑπεναντιότης παρασκευάσει. ὅθεν δὴ κατὰ τὰς ἐξ ἀρχῆς ἐναπολήψεις τῶν συστροφῶν τούτων ἐν τῇ τοῦ κόσμου γενέσει δεῖ δοξάζειν καὶ τὴν ἀνάγκην ταύτην καὶ περίοδον συντελεῖσθαι. Καὶ μὴν καὶ ⟨τὸ⟩ τὴν ὑπὲρ 78 τῶν κυριωτάτων αἰτίαν ἐξακριβῶσαι φυσιολογίας ἔργον εἶναι δεῖ νομίζειν, καὶ τὸ μακάριον ἐνταῦθα πεπτωκέναι καὶ ἐν τῷ τίνες φύσεις αἱ θεωρούμεναι κατὰ τὰ μετέωρα

---

17 μακάριον ἐν τῇ περὶ μετεώρων γνώσει GLOSSEMA u. ἐνταῦθα

2 διατάξοντος BFPQ: διατάξαντος GHf || 3 συμφωνοῦσιν BH: sine ν̄ reliqui || 4 πραγματεῖαι F | χάριτες] χάριτες καὶ B P$^1$Q || 5 ἀλλ' ἐν P$^1$Q: ἀλλὰ B ἀλλ' FGHP$^2$f || 6 πλησίων BGH | αὖ πυρὸς ἀνάμματα] αυ πυρα μαοντα P$^1$, Q αὖ πῦρ ἅμα (ἀμα H) ὄντα P$^2$GHf λυπυρὰ ἅμα ὄντα B αὖ πῦρ' ὄντα F: αὖ πυρὸς ἄμμα (uel ἄμματα) ὄντα Mericus Casaubonus, respexit huc Achilles isag. 13 (supra p. 2) | συνεστραμμένον libri sed συνεστρατευμένον G συνεστρατευμένην f συνεστραμμένα s || 7 μακαριωτάτην B μακαριωτάτην Q et fort. P$^1$ || 8 πᾶν τὸ] πάν τά F || 9 φερόμενα libri || 10 ἵνα] ἐὰν libri | μηδ' FP$^2$ | ὑπεναντίαις Q(P$^1$) ὑπ' εναντίαις B | γένωνται uel simile quid intercidit || 11 τὸν] τὸ G || 12 αὐτὴ ἡ HPQ αὐτὴν ἡ B: αὔτη FGf | κατὰ Kuehnius: καὶ libri || 13 τὰς ἀρχ[ῆ]ς, sed mg ἐξ ἀρχῆς H | ἐναπολήμψεις B | συστρόφων FGf || 14 γενέσει] συστάσει FGf || 15 τὸ τὴν] τὴν libri || 17 fort. ἐνταῦθά ⟨τε⟩ || 18 τινὲς f: τινὰς libri | φύσις P$^2$ | αἵ GHPQ

19 περὶ] περὶ τῶν Gf

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

κασθῆναι· τὸν δὲ λογισμὸν τὰ ὑπὸ ταύτης παρεγγυηθέντα ὕστερον ἐπακριβοῦν καὶ προσεξευρίσκειν ἐν μὲν τισὶ θᾶττον, ἐν δὲ τισὶ βραδύτερον καὶ ἐν μὲν τισὶ περιόδοις καὶ χρόνοις * *, ἐν δὲ τισὶ καὶ ἐλάττους. Ὅθεν καὶ τὰ ὀνόματα ἐξ ἀρχῆς μὴ θέσει γενέσθαι, ἀλλ' αὐτὰς τὰς φύσεις τῶν ἀνθρώπων καθ' ἕκαστα ἔθνη ἴδια πασχούσας πάθη καὶ ἴδια λαμβανούσας φαντάσματα ἰδίως τὸν ἀέρα ἐκπέμπειν στελλόμενον ὑφ' ἑκάστων τῶν παθῶν καὶ τῶν φαντασμάτων, ὡς ἄν ποτε καὶ ἡ παρὰ τοὺς τόπους τῶν
76 ἐθνῶν διαφορὰ ᾖ· ὕστερον δὲ κοινῶς καθ' ἕκαστα ἔθνη τὰ ἴδια τεθῆναι πρὸς τὸ τὰς δηλώσεις ἧττον ἀμφιβόλους γενέσθαι ἀλλήλοις καὶ συντομωτέρως δηλουμένας· τινὰ δὲ καὶ οὐ συνορώμενα πράγματα εἰσφέροντας τοὺς συνειδότας παρεγγυῆσαι τινὰς φθόγγους ἀναγκασθέντας ἀναφωνῆσαι, τοὺς δὲ τῷ λογισμῷ ἑλομένους κατὰ τὴν πλείστην αἰτίαν οὕτως ἑρμηνεῦσαι.

Καὶ μὴν ⟨καὶ τὴν⟩ ἐν τοῖς μετεώροις φορὰν καὶ τροπὴν καὶ ἔκλειψιν καὶ ἀνατολὴν καὶ δύσιν καὶ τὰ σύστοιχα

---

4 χρόνοις ἀποτομὴν ἀπὸ τοῦ ἀπείρου. GLOSSEMA

2 ὕστερον BP[1]Q: καὶ ὕστερον reliqui | προεξευρίσκειν G | μὲν τ[ισι] B | θᾶττον· τισὶ δὲ F || 3 χρόνοις καὶ περιόδοις F || 4 hiatum indicaui eadem caussa qua supra p. 26, 2 ortum, sic fere explendum μείζους λαμβάνειν ἐπιδόσεις | τισὶ κατ' ἐλάττους libri || 5 ἀρ[χῆς litteris in charta adglutinata suppletis P[2] | θέσι P[1] || 8 ὑπ' ἑκάστων B ὑ∗εκάστων P[1] || 10 ᾖ] εἴη libri || 12 ἀλλήλοις an ἀλλήλους incertum F: ἀλλήλαις reliqui edebaturque ante Meibomium | συντομοτέρως B συντομωτέρας HPQ || 13 εἰσφέροντες HPQ | τοὺς] τοῦ H || 14 φθόγγους] φθόγγους τοὺς libri. at participium ἀναγκασθέντας ἀναφ. caussam superioribus addit cf. Lucr. v 1028 *sonitus natura subegit mittere et utilitas expressit nomina rerum* || 15 τῶν λογισμῶν H | ἑλλομένους F ἑπομένους Schneiderus || 16 αἰτίαν corruptum. fort. φαντασίαν | οὕτω Gf || 17 καὶ τὴν suppleui. cf. p. 29, 6 || 18 ἔκληψιν P[1]Q

19 ἀποτομὴν] ἀπὸ τῶν BGHPQf: om F. cf. ep. II 88. eximenda haec uerba erant, siue relicta ex pleniore ad p. 26, 2 scholio, siue olim uerbis p. 26, 14 ἀποκριθέντα κτλ. glossema addita erant

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

καὶ τοὺς κόσμους οὔτε ἐξ ἀνάγκης δεῖ νομίζειν ἕνα σχηματισμὸν ἔχοντας * * οὐδὲ γὰρ ἂν ἀποδείξειεν οὐδείς, ὡς ⟨ἐν⟩ μὲν τῷ τοιούτῳ καὶ οὐκ ἂν ἐμπεριελήφθη τὰ τοιαῦτα σπέρματα, ἐξ ὧν ζῷά τε καὶ φυτὰ καὶ τὰ λοιπὰ πάντα ⟨τὰ⟩ θεωρούμενα συνίσταται, ἐν δὲ τῷ τοιούτῳ οὐκ ἂν ἐδυνήθη.

Ἀλλὰ μὴν ὑποληπτέον καὶ τὴν φύσιν πολλὰ καὶ παν- 75
τοῖα ὑπὸ αὐτῶν τῶν πραγμάτων διδαχθῆναί τε καὶ ἀναγ-

---

σμους, μεταβαλλόντων τῶν μερῶν. καὶ ἐν ἄλλοις, τὴν γῆν τῷ ἀέρι ἐποχεῖσθαι. SCHOLION

2 ἔχοντας· ἀλλὰ καὶ διαφόρους αὐτούς ἐν τῇ ιβ περὶ ⟨φύσεως⟩ αὐτός φησιν· οὓς μὲν γὰρ σφαιροειδεῖς, καὶ ᾠοειδεῖς ἄλλους, καὶ ἀλλοιοσχήμονας ἑτέρους· οὐ μέντοι πᾶν σχῆμα ἔχειν. οὐδὲ ζῷα εἶναι/ἀποκριθέντα ἀπὸ τοῦ ἀπείρου. SCHOLION

6 ἐδυνήθη. ὡσαύτως δὲ καὶ ἐντραφῆναι. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ γῆς νομιστέον. GLOSSEMA

1 καὶ om BP¹Q | δεῖ] ἀεὶ B δεῖν GH || 2 hiat oratio uerbis genuinis scholio intruso expulsis. nunc enim et superior de mundorum figuris sententia abrumpitur uix incohata et deest nouae sententiae propositio haec fere ἀλλὰ μὴν καὶ πᾶσι τοῖς κόσμοις δεῖ νομίζειν ζῷα κτλ. ἐνεῖναι, cf. Lucretius II 1075 sq. nam extremum scholii colon neque huc arripi potest propter uerba ἀποκριθέντα ἀπὸ τοῦ ἀπείρου, neque ut superiori sententiae tribuatur, Achillis testimonio efficias ad p. 28, 6 sq. referendo | ἀποδ[είξ]οιεν B || 3 ἐν suppleuit Gassendus | καὶ οὐκ ἂν libri optime. hoc dicit Epicurus: nemo facile demonstrauerit alius mundi eam esse naturam, ut in eo semina animantium perinde adesse atque deesse potuerint, in alio adesse omnino non potuisse | ἐνπεριελήφθη B || 4 ζῶ . . . καὶ litteris III euanidis B || 5 τὰ post πάντα Schneidero debetur | ἐξίσταται H²Q | δὲ τῷ euanuerunt in B | τοιούτων B || 7 καὶ παντοῖα τε ὑπὸ F || 8 αὐτῶν τῶν BHPQ: τῶν αὐτῶν F τῶν αὐτῶν τῶν Gf | τε om F

9 τῶν ἡμερῶν Gf || 11 ἀλλὰ dubium scholiastaene sit an relictum ex uerbis genuinis glossemate expulsis | περὶ αὐτοῦ BHPQ περὶ τούτου FGf, γρ P² || 12 φησί H | σφαιροειδεῖς εἶναι καὶ H || 13 ἔχεται B, de reliquis cf. ad l. 2 || 15 ἐντραφῆναι cf. Lucr. II 546. 566 al. | δὴ H² || 16 καὶ om H¹ | γῆς in ras. B. cf. Lucr. II 589 sqq.

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

ὑπαρχούσαις κατ᾽ αὐτοῦ χρηστέον· οὔτε ἄλλό τι κατ᾽ αὐτοῦ κατηγορητέον ὡς τὴν αὐτὴν οὐσίαν ἔχον τῷ ἰδιώματι τούτῳ (καὶ γὰρ τοῦτο ποιοῦσι τινές), ἀλλὰ μόνον ᾧ συμπλέκομεν τὸ ἴδιον τοῦτο καὶ παραμετροῦμεν, μάλιστα
73 ἐπιλογιστέον. καὶ γὰρ τοῦτο οὐκ ἀποδείξεως προσδεῖται ἀλλ᾽ ἐπιλογισμοῦ, ὅτι ταῖς ἡμέραις καὶ ταῖς νυξὶ συμπλέκομεν καὶ τοῖς τούτων μέρεσιν, ὡσαύτως δὲ καὶ τοῖς πάθεσι καὶ ταῖς ἀπαθείαις, καὶ κινήσεσι καὶ στάσεσιν, ἴδιόν τι σύμπτωμα περὶ ταῦτα πάντα αὐτὸ τοῦτο ἐννοοῦντες, καθ᾽ ὃ χρόνον ὀνομάζομεν.

Ἐπί τε τοῖς προειρημένοις τοὺς κόσμους δεῖ καὶ πᾶσαν σύγκρισιν πεπερασμένην τὸ ὁμοιοειδὲς τοῖς θεωρουμένοις πυκνῶς ἔχουσαν νομίζειν γεγονέναι ἀπὸ τοῦ ἀπείρου, πάντων τούτων ἐκ συστροφῶν ἰδίων ἀποκεκριμένων καὶ μειζόνων καὶ ἐλαττόνων· καὶ πάλιν διαλύεσθαι πάντα, τὰ μὲν θᾶττον, τὰ δὲ βραδύτερον καὶ τὰ μὲν ὑπὸ
74 τῶν τοιῶνδε, τὰ δὲ ὑπὸ τῶν τοιῶνδε πάσχοντα. Ἔτι δὲ

---

10 ὀνομάζομεν. φησὶ δὲ τοῦτο καὶ ἐν τῇ δευτέρᾳ περὶ φύσεως καὶ ἐν τῇ μεγάλῃ ἐπιτομῇ. SCHOLION

17 πάσχοντα. δῆλον οὖν ὡς καὶ φθαρτούς φησι τοὺς κό-

1 καθ᾽ αὐτοῦ χρηστέον BHP$^1$Q | τί καθ᾽ αὐτοῦ F τι καθ᾽ αὐτοῦ BHPQ τι καθ᾽ ἑαυτοῦ f τι καθ᾽ ἑαυτά G: corr. Gassendus ‖ 2 ἔχον] ἔχοντος libri, ἔχοντ[ος] H ‖ 3 γάρ τούτω F | ᾧ BFP$^1$Q ὢ H: ὃ P$^1$ ὡς Gf γρ P$^2$ ‖ 4 τοῦτο BHP$^1$Q: τούτω FGP$^2$, f | καὶ μάλιστα H$^1$ ‖ 6 ἀλλὰ HPQ ‖ 8 καὶ τοῖς ἀπαθίης B ‖ 9 περὶ] παρὰ H$^1$ | πάντα] πάλιν libri | τοῦτο om H$^1$ | ἐννοοῦντος F ‖ 10 καθ᾽ ὃ Q: καθὸ reliqui ‖ 11 τοὺς προειρημ(ένους) F | τοῦ κόσμου BH$^1$. fort. τούς ⟨τε⟩ κόσμους ‖ 12 περασμένην B | ὁμοιοειδὲς FPQ: ὁμοειδὲς BGHf ‖ 15 ἐ[λαττό]νων B | πάλιν] πάντα F ‖ 16 βραχύτερον G | μὲν ὑπὸ τοιῶνδε F ‖ 17 δὲ ὑπὸ τῶν τοιῶνδε] δὲ ὑπὸ τοιῶνδε F δὲ ὑπὸ τῶνδε Gf | πάσχοντα· F πάσχοντα G H$^1$P$^2$f: τοῦτο σχόα BQ τ•••σχο• P$^1$ τοῦτο πάσχοντα H$^2$s

18 τοῦτο hoc loco om GHf, supplet mg H | τῇ β FGf | περὶ] τοῦτο περὶ Gf ‖ 20 δῆλον] ἄδηλον H$^1$P$^2$f ἄδιλον G, γρ δῆλον ὅπερ καὶ κάλλιον mg P$^2$ | καὶ ///// F | φθάρτας F$^1$ ἀφθάρτους Gf | τοὺς] τὸν F$^1$ | κόσμον F

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

71 προσαγορευθείη * * ἀλλ' ὅτῳ δή ποτε ἕκαστα συμβαίνοντα θεωρεῖται, οὐκ ἀίδιον τῶν συμπτωμάτων παρακολουθούντων. καὶ οὐκ ἐξελατέον ἐκ τοῦ ὄντος ταύτην τὴν ἐνάργειαν, ὅτι οὐκ ἔχει τὴν τοῦ ὅλου φύσιν ᾧ συμβαίνει οὐδὲ τὴν τῶν ἀίδιον παρακολουθούντων, οὐδ' αὖ καθ' αὑτὰ νομιστέον (οὐδὲ γὰρ τοῦτο διανοητέον οὔτ' ἐπὶ τούτων οὔτ' ἐπὶ τῶν ἀίδιον συμβεβηκότων), ἀλλ' ὅπερ καὶ φαίνεται, συμπτώματα πάντα σώματος νομιστέον, καὶ οὐκ ἀίδιον παρακολουθοῦντα οὐδ' αὖ φύσεως καθ' ἑαυτὰ τάγμα ἔχοντα, ἀλλ' ὃν τρόπον αὐτὴ ἡ αἴσθησις τὴν ἰδιότητα ποιεῖ, θεωρεῖται.

72 Καὶ μὴν καὶ τόδε γε δεῖ προσκατανοῆσαι σφοδρῶς· τὸν γὰρ δὴ χρόνον οὐ ζητητέον ὥσπερ καὶ τὰ λοιπά, ὅσα ἐν ὑποκειμένῳ ζητοῦμεν ἀνάγοντες ἐπὶ τὰς βλεπομένας παρ' ἡμῖν αὐτοῖς προλήψεις, ἀλλ' αὐτὸ τὸ ἐνάργημα, καθ' ὃ τὸν πολὺν ἢ ὀλίγον χρόνον ἀναφωνοῦμεν, συγγενικῶς τοῦτο ἐπιφέροντες, ἀναλογιστέον. καὶ οὔτε διαλέκτους ὡς βελτίους μεταληπτέον, ἀλλ' αὐταῖς ταῖς

---

4 συμβαίνει ὃ δὴ καὶ σῶμα προσαγορεύομεν GLOSSEMA u. τοῦ ὅλου cf. p. 23, 17

1 hiatum indicaui | ὅτῳ] ὅτε libri || 2 ἀιδίων libri: corr. Meibomius | σ υ μπτωμάτων F || 4 ἐνέργειαν GH | ᾧ FGf ὧ B: ὃ HPQ || 5 οὐδέ in rasura $P^2$ | τῶν om $P^1Q$ | ἀίδιον] ἀιδίων Gf ἀιδίων· οὐδὲ τὴν τὴν ἀίδιον F | παρακολουθούντα $H^2Q$ παρακολουθοῦντα $P^1$ παρακολουθοῦν B || 6 αὐτ|ὰ] H | νομ|ιστέον sic ut alteram uerbi partem in charta adglutinata addat $P^2$: νομίζομεν Q, sscr. $H^2$ | οὐδὲ [γὰρ τοῦ]το F | οὔτ' ἐπὶ τούτων om Gf | οὔτε ἐπὶ B || 7 οὐδ' ἐπὶ $P^1Q$ | ἐπεὶ G | τ[ῶν litteris in charta adglut. additis $P^2$; in lacuna trium litterarum om Q | ἀιδίων BFGf || 8 πάντα τὰ σώματα libri || 9 φύσις in compendio $P^1$ || 10 ἀλλ' ὃν] ἄλλον $P^1Q$ | ἀιδιότητα B || 11 mirum ni quis θεωρεῖσθαι aut θεωρητέον coniciat || 12 τόδε δεῖ sine γε F τόγε δὴ Gf || 13 τῶν γὰρ f || 15 προσλήψεις B | τὸ post αὐτό om $H^1$ || 16 καθὸ FHPQ || 17 περιφέροντες libri | κ α ὶ ἀναλογιστέον F || 18 διαλέκτου $P^1Q$
19 [ο] cum litura F ὦ G

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

69 φύσεις δοξαστέον (οὐ γὰρ δυνατὸν ἐπινοῆσαι τοῦτο), οὔτε ὅλως ὡς οὐκ εἰσίν, οὐθ' ὡς ἕτερ' ἄττα προσυπάρχοντα τούτῳ ἀσώματα, οὐθ' ὡς μόρια τούτου, ἀλλ' ὡς τὸ ὅλον σῶμα καθόλου μὲν ⟨ἐκ⟩ τούτων πάντων τὴν ἑαυτοῦ φύσιν ἔχον ἀίδιον, οὐχ οἷον δ' εἶναι συμπεφορημένον (ὥσπερ ὅταν ἐξ αὐτῶν τῶν ὄγκων μεῖζον ἄθροισμα συστῇ ἤτοι τῶν πρώτων ἢ τῶν τοῦ ὅλου μερῶν τοῦδε τινὸς ἐλαττόνων), ἀλλὰ μόνον, ὡς λέγω, ἐκ τούτων ἁπάντων τὴν ἑαυτοῦ φύσιν ἔχον ἀίδιον. καὶ ἐπιβολὰς μὲν ἔχοντα ἰδίας πάντα ταῦτά ἐστι καὶ διαλήψεις, συμπαρακολουθοῦντος δὲ τοῦ ἀθρόου καὶ οὐθαμῇ ἀποσχιζόμενα, ἀλλὰ κατὰ τὴν ἀθρόαν ἔννοιαν τοῦ σώματος κατηγορίαν εἰληφότα.

70 Καὶ μὴν καὶ τοῖς σώμασι συμπίπτει πολλάκις καὶ οὐκ ἀίδιον παρακολουθεῖν * * οὔτ' ἐν τοῖς ἀοράτοις ἔσται οὔτε ἀσώματα. ὥστε δὴ κατὰ τὴν πλείστην φορὰν τούτῳ τῷ ὀνόματι χρώμενοι φανερὰ ποιοῦμεν τὰ συμπτώματα οὔτε τὴν τοῦ ὅλου φύσιν ἔχειν, ὃ συλλαβόντες κατὰ τὸ ἀθρόον σῶμα προσαγορεύομεν, οὔτε τὴν τῶν ἀίδιον παρακολουθούντων, ὧν ἄνευ σῶμα οὐ δυνατὸν νοεῖσθαι· κατ' ἐπιβολὰς δ' ἄν τινας παρακολουθοῦντος τοῦ ἀθρόου ἕκαστα

1 οὔτε] ἢ F ‖ 2 οὐθ' ὡς Gassendus: ὡς οὐθ' (οὐθ' FQ) libri | ἕτερα τὰ libri ‖ 3 τούτῳ] τούτων H | οὐδ' ὡς F | τούτοις, ἀλλ' f ‖ 4 σῶμα] σῶμα· ὡς F | μὲν ἐκ Meibomius: μὲν libri | τ[ὴ]ν H ‖ 5 ἔχων G | οἷον τ' FGPQf οἰόν τε BH: corr. Schneiderus | συμπεφωρημένον F συμπεφορημένων BQ συμπεφ∙ορημένων P¹ ‖ 6 ὄγκων] οἴκων B¹P¹Q | ἄθροισμα male iterauerat P¹ ‖ 7 μερῶν Schneiderus: μεγεθῶν libri | τοῦ δέ τινος libri | ἔλαττον ὂν ἀλλὰ B ‖ 8 μόνων H ‖ 9 ἑαυτῶν HPQ ‖ 10 διαλείψεις F? ‖ 11 οὐθαμῆ BP¹Q: οὐδαμῆ ceteri οὐδαμὴ f | ἀποσχηζομένου B ἀποσχιζομένου reliqui ‖ 12 ἔννοιαν post σώματος dat F | τοῦ] τῶν Q εἰληφότος libri ‖ 13 [σ]υμπίπτει F ‖ 14 παρακολουθεῖ B | hiare orationem librarii non indicauerunt. συμπτώματα scriptor definit [οὔ]τ' ἐν H οὔτε praepositione omissa B | ἔσται] καὶ libri ‖ 15 δὴ] δεῖ F | τὴν om Gf | [φο]ρὰν B ‖ 17 τ[οῦ ὅ]λου lacuna m. rec. expleta B | ἔχει Ff | ὃ FGf: ὃν HPQ ἣν in lacuna rec. B | τοαθρον P¹ ‖ 18 ἀίδιον BF: ἀιδίων reliqui ‖ 19 [ἄ]νευ F

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

τὸ ἀσώματον, του ὀνόματος ἐπὶ τοῦ καθ' ἑαυτὸ νοηθέν-
τος ἄν· καθ' ἑαυτὸ δὲ οὐκ ἔστι νοῆσαι τὸ ἀσώματον
πλὴν τοῦ κενοῦ. τὸ δὲ κενὸν οὔτε ποιῆσαι οὔτε παθεῖν
δύναται, ἀλλὰ κίνησιν μόνον δι' ἑαυτοῦ τοῖς σώμασι παρ-
έχεται. ὥσθ' οἱ λέγοντες ἀσώματον εἶναι τὴν ψυχὴν μα-
τάζουσιν. οὐθὲν γὰρ ἂν ἐδύνατο ποιεῖν οὔτε πάσχειν, εἰ
ἦν τοιαύτη· νῦν δ' ἐναργῶς ἀμφότερα ταῦτα συμβαίνει
περὶ τὴν ψυχὴν τὰ συμπτώματα. ταῦτα οὖν παντα τα 68
διαλογίσματα ⟨τὰ⟩ περὶ ψυχῆς ἀνάγων τις ἐπὶ τὰ πάθη
καὶ τὰς αἰσθήσεις, μνημονεύων τῶν ἐν ἀρχῇ ῥηθέντων,
ἱκανῶς κατόψεται τοῖς τύποις ἐμπεριειλημμένα εἰς τὸ ⟨καὶ
τὰ⟩ κατὰ μέρος ἀπὸ τούτων ἐξακριβοῦσθαι βεβαίως.

Ἀλλὰ μὴν καὶ τὰ σχήματα καὶ τὰ χρώματα καὶ τὰ μεγέθη καὶ τὰ βάρη καὶ ὅσα ἄλλα κατηγορεῖται σώματος ὡσανεὶ συμβεβηκότα ἢ πᾶσιν ἢ τοῖς ὁρατοῖς καὶ κατὰ τὴν αἴσθησιν σώματος γνωστά, οὔθ' ὡς καθ' ἑαυτάς εἰσι

---

καὶ τῆς χαρᾶς. ὕπνον τε γίνεσθαι τῶν τῆς ψυχῆς μερῶν τῶν παρ'
ὅλην τὴν σύγκρισιν παρεσπαρμένων ἐγκατεχομένων ἢ διαφορου-
μένων, εἶτα συμπιπτόντων τοῖς ἐπερεισμοῖς. τό τε σπέρμα ἀφ' 67
ὅλων τῶν σωμάτων φέρεσθαι. SCHOLION

1 τὸ ἀσώματον· λέγει γὰρ κατὰ τὴν πλείστην ὁμιλίαν SCHOL.

1 ἑαυτὸν (ἑαυτο sic F) νοηθέντος ἂν libri: corr. s || 2 ἑαυτὸν δὲ f | νοῆσαι ἂν sed ἂν subductum H || 4 δύνατ[αι] cum litura rec. B || 5 ὥστ' οἱ H | εἶναι om F | ματαιίζουσιν BFPQ μαται[ά]-ζουσιν H[1] ματαιάζουσιν Gf cf. glossar. || 6 ἂν ἐδύνετο B ἀνεδύ-νετο P'Q | fort. οὐδὲ || 7 νῦν ἀργῶς G | δ'] δὲ F | συμβαίνει] διαλαμβάνει libri || 8 πάντα om F || 9 δια[νοή]-ματα F[2] | περὶ ψυχῆς om Gf. praemisi articulum || 11 τόποις Gf | συμπεριειλημ-μένα B | καὶ τὰ κατὰ] κατὰ libri || 14 βάρη] βαρέα ἢ libri || 15 ὡσανεὶ συμβεβηκότα P. Galesius Casaubono teste: ὡς ἂν εἰς αὐ-τὰ βεβηκότα libri | prius ἢ] ἢ H | κατὰ τὴν αἴσθησιν] καταίσθη-(σιν) F || 16 σώματος] αὐτοῖς libri, nisi quod αὐτων P[2] | γνωστοῖς libri | οὔθ'] ὥσθ' G

17 τε om B || 18 ἐνκατεχομένων B ἢ ἐγκατεχομένων s || 19 εἶτα ἐμπιπτόντων F | ἐπερεισμοῖς] 'πορμοῖς id est ἐπορμοῖς F ποργμοῖς BHPQ ἐσπαρμένοις Gf, γρ P[2] mg | τότε f

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

καὶ ἐνυπάρχουσα ἡ ψυχὴ οὐδέποτε ἄλλου τινὸς μέρους ἀπηλλαγμένου ἀναισθητήσει· ἀλλ' ἃ ἂν καὶ ταύτης ξυναπόληται τοῦ στεγάζοντος λυθέντος εἴ θ' ὅλου εἴ τε καὶ μέρους τινός, ἐάν περ διαμένῃ, ἕξει τὴν αἴσθησιν· τὸ δὲ λοιπὸν ἄθροισμα διαμένον καὶ ὅλον καὶ μέρος οὐκ ἔχει τὴν αἴσθησιν ἐκείνου ἀπηλλαγμένου, ὅσον ποτὲ ἐστὶ τὸ συντεῖνον τῶν ἀτόμων πλῆθος εἰς τὴν τῆς ψυχῆς φύσιν. Καὶ μὴν καὶ λυομένου τοῦ ὅλου ἀθροίσματος ἡ ψυχὴ διασπείρεται καὶ οὐκέτι ἔχει τὰς αὐτὰς δυνάμεις οὐδὲ κινεῖ-
66 ται, ὥστε οὐδ' αἴσθησιν κέκτηται. οὐ γὰρ οἷόν τε νοεῖν τὸ αἰσθανόμενον μὴ ἐν τούτῳ τῷ συστήματι καὶ ταῖς κινήσεσι ταύταις χρώμενον, ὅταν τὰ στεγάζοντα καὶ περιέχοντα μὴ τοιαῦτα ᾖ, ἐν οἷς νῦν οὖσα ἔχει ταύτας τὰς
67 κινήσεις. Ἀλλὰ μὴν καὶ τόδε γε δεῖ προσκατανοεῖν ὅ τι

---

14 καὶ τόδε λέγει ἐν ἄλλοις καὶ ἐξ ἀτόμων αὐτὴν συγκεῖσθαι λειοτάτων καὶ στρογγυλωτάτων, πολλῷ τινι διαφερουσῶν τῶν τοῦ πυρός, καὶ τὸ μέν τι ἄλογον αὐτῆς, ὃ τῷ λοιπῷ παρεσπάρθαι σώματι· τὸ δὲ λογικὸν ἐν τῷ θώρακι, ὡς δῆλον ἔκ τε τῶν φόβων

1 καὶ om F | τινὸς ἄλλου B || 2 ἀπηλλαγμέν[ου] H | ἀναισθήσει B ἀναισθησία reliqui libri: corr. Kuehnius | ἀλλ' ἃ ἂν FP² ἀλλὰ ἂν reliqui | ταύτης] ταύτῃ libri | ξυναπόληται Gf: ξυναπόλληται FHPQ ξυναπόλλυται B || 3 καὶ om F || 4 διαμένει F | ἕξει] ὀξὺ libri | τὸ δὲ .... 6 αἴσθησιν om Gf, restituit s | τὸ δὲ] ἐκείνου F || 5 ὅλου B | καὶ μέρος] κατὰ μέρος BHPQ καὶ κατὰ μέρος FGs || 8 λυομένου] δυομένου B διαλυομένου F || 9 καὶ οὐκέτι] οὐθ' οὐκέτι B¹ εἰ δ' οὐκέτι rec B² mg || 10 οὐδ' αἴσθησιν οὐκέκτηται B | κέκτη•ται P || 11 τὸ] αὐτὸ libri | ἐν] fort. ⟨ὂν⟩ ἐν | συστήματι ex κινήματι corr F | καὶ ταῖς] ταῖς FGf || 12 τὰ post ὅταν om f || 13 coniciat quispiam ἐν οἵοις | νῦν οὖσα ἔχει] ἔχειαν οὖσα H || 14 δεῖ πρὸς τὸ κατανοεῖν F | ὅτι τὸ libri | ὅτι τὸ ἀσώματον om f, restituit Sambucus

16 στρογγυλοτάτων BF στρογγυ[λω]τάτων P³ | τῶν om G || 17 μέν τι Cobetus: μέντοι libri | ἀλο(γον) cum conpendio quod ως interpreteris P ἄ[λογον] H | παρέσαρθρει et in mg m. rec. ˝σπάρη B παρεσαρθρεῖ FGHPQ παρεσαθρεῖ f: corr. Schneiderus || 18 θώρακι] σώματι Gf, γρ P² mg | δήλων F² | φόβον B¹

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

θερμοῦ τινα κρᾶσιν ἔχοντι καὶ πῇ μὲν τούτῳ προσεμφε-
ρές, πῇ δὲ τούτῳ, ἐπὶ δὲ τοῦ μέρους πολλὴν παραλλαγὴν
εἰληφὸς τῇ λεπτομερείᾳ καὶ αὐτῶν τούτων, συμπαθὲς δὲ
τούτῳ μᾶλλον καὶ τῷ λοιπῷ ἀθροίσματι· τοῦτο δὲ πᾶν
αἱ δυνάμεις τῆς ψυχῆς διῆγον καὶ τὰ πάθη καὶ αἱ εὐκι-
νησίαι καὶ αἱ διανοήσεις καὶ ὧν στερόμενοι θνήσκομεν.
Καὶ μὴν καὶ ὅτι ἔχει ἡ ψυχὴ τῆς αἰσθήσεως τὴν πλείστην
αἰτίαν, δεῖ κατέχειν· οὐ μὴν εἰλήφει ἂν ταύτην, εἰ μὴ 64
ὑπὸ τοῦ λοιποῦ ἀθροίσματος ἐστεγάζετό πως. τὸ δὲ λοι-
πὸν ἄθροισμα παρασκευάσαν ἐκείνῃ τὴν αἰτίαν ταύτην
μετείληφε καὶ αὐτὸ τοιούτου συμπτώματος παρ' ἐκείνης,
οὐ μέντοι πάντων ὧν ἐκείνη κέκτηται· διὸ ἀπαλλαγείσης
τῆς ψυχῆς οὐκ ἔχει τὴν αἴσθησιν. οὐ γὰρ αὐτὸ ἐν ἑαυτῷ
ταύτην ἐκέκτητο τὴν δύναμιν, ἀλλ' ἕτερον ἅμα συγγεγε-
νημένον αὐτῷ παρεσκεύαζεν, ὃ διὰ τῆς συντελεσθείσης
περὶ αὐτὸ δυνάμεως κατὰ τὴν κίνησιν σύμπτωμα αἰσθη-
τικὸν εὐθὺς ἀποτελοῦν ἑαυτῷ ἀπεδίδου κατὰ τὴν ὁμού-
ρησιν καὶ συμπάθειαν καὶ ἐκείνῳ, καθά περ εἶπον. διὸ δὴ 65

1 κρᾶσιν F | τοῦτο πρὸς ἐμφερές· F || 2 π[ῇ] δέ H | ἐπὶ δὲ τοῦ μέρους] ἔστι δὲ τὸ μέρος libri ἔστι δέ τι μέρος Woltjer de Lucretii philosophia p. 61 || 3 εἰληφὼς F | λεπτομερία B || 4 καὶ] ἡ CFHermannus, sed hic datiuus ad συμπαθές refertur, τούτῳ causam indicat || 5 διῆγον] δῆλον libri. cf. Lucretius III 324 *ipsaque corporis est custos et causa salutis* et sequentia, ibid. 125. 127. 281 al. | αἱ ante εὐκινησίαι omissum suppleuit $P^1$ || 6 στερόμενοι $FH^1P^2$: στερούμενοι reliqui || 9 ὑπὸ τοῦ cum litura $P^1$ | ἐστεγίζετο $F^1$ || 10 παρασκευάσαν $P^1Q$ παρασκευάσαι B | ἐκείνῃ om FGf | αἰτίαν cf. supra u. 7 sq. || 11 [μετείληφε καὶ αὐτὸ τοι]ούτου F | μετείληφεν P | τοιούτου] τοιοῦτο (ν supra scr. rec $B^2$) τοῦ BQ τοιουτο•• $P^1$ | ἐκείνοις et 12 ἐκεῖνοι H || 13 ἐναυτῶ sed ἑ supra α posito $P^1$ || 14 ἐκέκτητο τὴν δύναμιν in ras. H | ἑτέρῳ libri | συ[γγ]εγενημέν[ω] B συγγεγενημένω FGf et η in ras. $P^3$ συνγεγενημένω H συγγεννημένω Q || 15 αὐτῷ] αὐτὸ H | παρεσκεύαζε διὰ Gf | της τελεσθείσης $H^1$ || 16 αὐτὸ] αὐτῶ $B^1Gf$ | κίνησιν $BP^1Q$ εἶχε κίνησιν mg $P^3$: δίνησιν $FHP^2$ δύνησιν Gf || 17 ὁμούρησιν $B^2Gf$, γρ mg $P^3$ [ὁ]μούρησιν F: ὁμοῦ ῥῆσιν $B^1HP^1Q$ || 18 ἐκεῖνο F

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

ἡ εἰς τὸ πλάγιον διὰ τῶν κρούσεων φορά, οὔθ' ἡ κάτω διὰ τῶν ἰδίων βαρῶν. ἐφ' ὁπόσον γὰρ ἂν κατίσχῃ ἑκάτερον, ἐπὶ τοσοῦτον ἅμα νοήματι τὴν φορὰν σχήσει, ἕως
62 ⟨ἄν τι⟩ ἀντικόψῃ, ἢ ἔξωθεν ἢ ἐκ τοῦ ἰδίου βάρους. Ἀλλὰ μὴν καὶ κατὰ τὰς συγκρίσεις ⟨οὐ⟩ θάττων ἑτέρα ἑτέρας ῥηθήσεται τῶν ἀτόμων ἰσοταχῶν οὐσῶν, τῷ ἐφ' ἕνα τόπον φέρεσθαι τὰς ἐν τοῖς ἀθροίσμασιν ἀτόμους κατὰ τὸν ἐλάχιστον συνεχῆ χρόνον ἢ μὴ ἐφ' ἕνα· ἀλλὰ πυκνὸν ἀντικόπτουσιν, ἕως ἂν ὑπὸ τὴν αἴσθησιν τὸ συνεχὲς τῆς φορᾶς γίνηται. τὸ γὰρ προσδοξαζόμενον περὶ τοῦ ἀοράτου, ὡς ἄρα καὶ οἱ διὰ λόγου θεωρητοὶ χρόνοι τὸ συνεχὲς τῆς φορᾶς ἕξουσιν, οὐκ ἀληθές ἐστιν ἐπὶ τῶν τοιούτων· ἐπεὶ τό γε θεωρούμενον πᾶν ἢ κατ' ἐπιβολὴν λαμβανόμενον τῇ διανοίᾳ ἀληθές ἐστιν.

63 Μετὰ δὲ ταῦτα δεῖ συνορᾶν ἀναφέροντα ἐπὶ τὰς αἰσθήσεις καὶ τὰ πάθη (οὕτω γὰρ ἡ βεβαιοτάτη πίστις ἔσται), ὅτι ἡ ψυχὴ σῶμά ἐστι λεπτομερὲς παρ' ὅλον τὸ ἄθροισμα παρεσπαρμένον, προσεμφερέστατον δὲ πνεύματι

---

4 βάρους πρὸς τὴν τοῦ πλήξαντος δύναμιν GLOSSEMA ad u. ἔξωθεν

8 ἐφ' ἕνα κατὰ τοὺς λόγῳ θεωρητοὺς χρόνους GLOSSEMA ad u. πυκνὸν ἀντικόπτουσιν

1 ἡ om f | πλά(γιον) compendio quod ὡς interpreteris scribunt P¹Q | [ἡ] κάτω P² αἱ κάτω BQ || 2 διὰ om f | ἑκατέρων libri. plagam et pondus Ep. dicit || 3 τοσούτων B τοσοῦτο FQ | νοήματ[ι] F | σχήσειν BGf || 4 ἄν τι suppleui || 5 μὴν καὶ] μηδὲ f | οὐ restitui | θάττων f: θᾶττον libri | ἑτέρας• P || 6 οἰσθήσεται Kuehnius | τῷ] καὶ τὸ F | ἐφ' om Q | τόπων G || 7 ἀθρο[ίσμασιν] B ~~ἀθροίσμα P¹~~ | κατὰ] καὶ κατὰ libri | τῶν (articulum om Gf) ἐλαχίστων libri: corr. Meibomius || 8 συνέχει F | ἢ] εἰ libri | ἀντικόπτωσιν libri: corr. Gassendus || 9 τὸ ante συνεχὲς om B¹ || 10 φορᾶς] φω(νῆ)ς F | γένηται Gf || 11 διαλόγου BFG || 14 ἐστι· F || 15 ἐπὶ om F || 16 βεβαία F || 17 ἔσται] ἄγεται F || 18 κατεσπαρμένον F | πρὸς ἐμφερέστατον BFHPQ | πνεύματι] σπέρματι Ff, γρ mg P² σπέρμά τι G

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

## ΕΠΙΚΟΥΡΟΣ ΗΡΟΔΟΤΩΙ ΧΑΙΡΕΙΝ

35 Τοῖς μὴ δυναμένοις, ὦ Ἡρόδοτε, ἕκαστα τῶν περὶ φύσεως ἀναγεγραμμένων ἡμῖν ἐξακριβοῦν μηδὲ τὰς μείζους τῶν συντεταγμένων βύβλους διαθρεῖν ἐπιτομὴν τῆς ὅλης πραγματείας εἰς τὸ κατασχεῖν τῶν ὁλοσχερωτάτων δοξῶν τὴν μνήμην ἱκανῶς ἂν τις παρασκευάσαι, ἵνα παρ' ἑκάστους τῶν καιρῶν ἐν τοῖς κυριωτάτοις βοηθεῖν αὑτοῖς δύνωνται, καθ' ὅσον ἂν ἐφάπτωνται τῆς περὶ φύσεως θεωρίας. Καὶ τοὺς προβεβηκότας δὲ ἱκανῶς ἐν τῇ τῶν ὅλων ἐπιβλέψει τὸν τύπον τῆς ὅλης πραγματείας τὸν κατεστοιχειωμένον δεῖ μνημονεύειν. τῆς γὰρ ἀθρόας ἐπιβολῆς πυκνὸν δεόμεθα, τῆς δὲ κατὰ μέρος οὐχ ὁμοίως.
36 βαδιστέον μὲν οὖν καὶ ἐπ' ἐκεῖνα συνεχῶς, ἔν τε μνήμῃ τὸ τοσοῦτον ποιητέον, ἀφ' οὗ ἥ τε κυριωτάτη ἐπιβολὴ ἐπ τὰ πράγματα ἔσται καὶ δὴ καὶ τὸ κατὰ μέρος ἀκρίβωμα

1 χαίρειν] εὖ πράττειν Eudocia interpolatum ex Laertio x 14 ‖ 2 ἕκαστα τῶν om $F^1$ εκαστα sscr $F^2$ ‖ 3 φύσιν (sed φύσεως mg) H | ἀναγεγραμμένων ἡμῖν BGHPQ$F^2$ ἐγγεγραμμένων $F^1$: ἡμῖν ἀναγεγραμμένων f ‖ 4 βίβλους libri βίβλων Meibomius ‖ 5 ὁλοσχερωτάτων GHPQf ὁλοσχεροτάτων BF cf. Nauckius philol. iv p. 200: ὁλοσχερεστάτων Gassendus ‖ 6 δοξῶν FGH$P^2$: δὲ δοξῶν B δεδοξῶν $P^1$Q latetne γε? | ἄν τις] αὐτοῖς libri | παρασκεύασα[ι]·· ἵνα cum litura F παρεσκεύασα ἵνα H$P^2$f: παρεσκεύασαν ἃ Q, $P^1$? παρεσκεύασα ἃ BG ‖ 7 ἑκάστου· F | αὐτοῖς libri et ante Schneiderum exempla edita ‖ 8 δύνωνται FH$P^2$ δύνονται $P^1$Q δύνανται BG s: δύναιντο f | ἐφάπτονται BF, $P^1$? | τῆς περὶ] περὶ τῆς F | φύσιν (sed φύσεως mg) H φύσεος G ‖ 9 θεωρίας sscr F | προβεβληκότας FGHPQf ‖ 11 καταστοιχειωμένον FQ ‖ 13 συνεχῶς] καὶ συνεχῶς Gs | ἔν τε] ἐν τῇ libri ‖ 14 τὸ τοσοῦτον BH$P^2$ τὸ τοσοῦτο $P^1$Q τοσοῦτο F τοσοῦτον f: om Gs ‖ 15 καὶ post δὴ om F

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

58 ἀφικνεῖσθαι τῇ ἐννοίᾳ. τό τε ἐλάχιστον τὸ ἐν τῇ αἰσθή-
σει δεῖ κατανοεῖν ὅτι οὔτε τοιοῦτόν ἐστιν οἷον τὸ τὰς
μεταβάσεις ἔχον οὔτε πάντῃ πάντως ἀνόμοιον, ἀλλ' ἔχον
μέν τινα κοινότητα τῶν μεταβατῶν, διάληψιν δὲ μερῶν
οὐκ ἔχον· ἀλλ' ὅταν διὰ τὴν τῆς κοινότητος προσεμφέ-
ρειαν οἰηθῶμεν διαλήψεσθαί τι αὐτοῦ, τὸ μὲν ἐπιτάδε, τὸ
δὲ ἐπέκεινα, τὸ ἴσον ἡμῖν δεῖ προσπίπτειν. ἑξῆς τε θεω-
ροῦμεν ταῦτα ἀπὸ τοῦ πρώτου καταρχόμενοι καὶ οὐκ ἐν
τῷ αὐτῷ, οὐδὲ μέρεσι μερῶν ἁπτόμεν', ἀλλ' ἢ ἐν τῇ ἰδιό-
τητι τῇ ἑαυτῶν τὰ μεγέθη καταμετροῦντα, τὰ πλείω πλεῖον
καὶ τὰ ἐλάττω ἔλαττον. ταύτῃ τῇ ἀναλογίᾳ νομιστέον καὶ
59 τὸ ἐν τῇ ἀτόμῳ ἐλάχιστον κεχρῆσθαι. μικρότητι γὰρ ἐκεῖνο
δῆλον ὡς διαφέρει τοῦ κατὰ τὴν αἴσθησιν θεωρουμένου,
ἀναλογίᾳ δὲ τῇ αὐτῇ κέχρηται. ἐπεί περ καὶ ὅτι μέγεθος
ἔχει ἡ ἄτομος, κατὰ τὴν ⟨τῶν⟩ ἐνταῦθα ἀναλογίαν κατη-
γορήσαμεν, μικρόν τι μόνον μακρὰν ἐκβάλλοντες. ἔτι τε
τὰ ἐλάχιστα καὶ ἀμιγῆ πέρατα δεῖ νομίζειν τῶν μηκῶν,
τὸ καταμέτρημα ἐξ αὑτῶν πρώτων τοῖς μείζοσι καὶ ἐλάτ-
τοσι παρασκευάζοντα * * τῇ διὰ λόγου θεωρίᾳ ἐπὶ τῶν
ἀοράτων. ἡ γὰρ κοινότης ἡ ὑπάρχουσα αὐτοῖς πρὸς τὰ

3 πάντ[η] B: om F | πάντος f πάντων s | ἔχομέν τινα G ‖ 4 μέν τινα] μέντοι F | μεταβάντων libri ‖ 5 ἔχων G | ἀλλ' ὅτε (ἄλλοτε HPQ) libri γρ ἀλλ' ὅτι $P^2$: corr. Cobetus | διὰ τὴν] τὴν διὰ F | πρὸς ἐμφέρειαν FG ‖ 6 διηθῶμεν $F^1$ | τι om F | ἐπὶ τάδε libri ‖ 7 ἐπέκεινα $FP^1Q$ ἐπ' ἐκεῖνα ceteri | ἴσον libri ‖ 9 μέρεσι] μέρους F | απτόμεν $P^1H^2$ ἄπτομεν Q: ἁπτόμενα $P^2H^1$ reliqui | ἀλλῆ P ἀλλ' ἡ F ἀλλὰ f ‖ 10 τῇ om F ‖ 11 alterum καὶ om f ‖ 12 ἐλάχιστον] ἔσχατον F ‖ 13 διαφέρει in ras. H διαφέροι Gf ‖ 14 κεχρῆσθαι libri: corr. Gassendus ‖ 15 ἡ ἄτομος ἔχει Q | τῶν suppleui ‖ 16 μακράν] μακρόν libri ‖ 17 ἀμιγῆ πέρατα (cf. Lucr. i 599 sqq.) praedicantur de minimis | δεῖ μερίζειν F | μηκῶν $BP^1Q$ mg H: μικρῶν F μακρῶν $GHP^2f$ ‖ 18 αὐτῶν libri | πρώτων HPQ: πρῶτον BFGf | ἐλάττωσι F ‖ 19 hiatum indicaui | διὰ λόγων G διαλόγων f ‖ 20 ἡ ante ὑπάρχουσα om $H^1$

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

σαι. πρὸς δὲ τούτοις οὐ δεῖ νομίζειν ἐν τῷ ὡρισμένῳ σώματι ἀπείρους ὄγκους εἶναι οὐδ' ὁπηλίκους οὖν. ὥστε οὐ μόνον τὴν εἰς ἄπειρον τομὴν ἐπὶ τοὔλαττον ἀναιρετέον, ἵνα μὴ πάντα ἀσθενῆ ποιῶμεν κἀν ταῖς περιλήψεσι τῶν ἀθρόων εἰς τὸ μὴ ὂν ἀναγκαζώμεθα τὰ ὄντα θλίβοντες καταναλίσκειν, ἀλλὰ καὶ τὴν μετάβασιν μὴ νομιστέον γενέσθαι ἐν τοῖς ὡρισμένοις εἰς ἄπειρον μηδ' ἐπὶ τοὔλαττον. οὔτε γὰρ ὅπως, ἐπειδὰν ἅπαξ τις εἴπῃ ὅτι ἄπειροι 57 ὄγκοι ἔν τινι ὑπάρχουσιν, οἱ ὁπηλίκοι οὖν, ἔστι νοῆσαι· πῶς τ' ἂν ἔτι τοῦτο πεπερασμένον εἴη τὸ μέγεθος; πηλίκοι γάρ τινες δῆλον ὡς οἱ ἄπειροί εἰσιν ὄγκοι· καὶ οὗτοι ὁπηλίκοι ἄν ποτε ὦσιν, ἄπειρον ἂν ἦν καὶ τὸ μέγεθος. ἄκρον τε ἔχοντος τοῦ πεπερασμένου διαληπτόν, εἰ μὴ καὶ καθ' ἑαυτὸ θεωρητόν, οὐκ ἔστι μὴ οὐ καὶ τὸ ἑξῆς τούτου τοιοῦτον νοεῖν καὶ τοῦτο κατὰ τὸ ἑξῆς εἰς τοὔμπροσθεν βαδίζοντι εἰς τὸ ἄπειρον ὑπάρχειν κατὰ ⟨τὸ⟩ τοιοῦτον

1 δεῖν f | ὁρισμένω H ὁρισμ[ένω] cum litura F || 2 οὐδὲ FH | ὁπηλίκος οὖν Q || 3 τοὔλαττ[ον] cum ras. H | ἀναιρ[ε]τέον cum ras. B || 4 κἀν] καὶ libri || 5 ἀθροῦν B ἀτόμων F | ἀναγκαζόμεθα BF || 7 μηδ' ἐπὶ Gassendus: μηδὲ aut μὴ δὲ libri. dubito an μήτ' ἐπὶ τὸ μεῖζον μήτε Ep. scripserit | τοὔλατον H || 8 Ep. postquam doctrinae de atomorum magnitudine summam proposuit, iam primae propositioni (u. 1—2) rationem duplicem ita subiungit, ut utramque primum breuiter indicet (l. 8—10), dein singillatim conprobet, l. 10—12 cl. 8 οὔτε γὰρ κτλ., 13 — p. 17, 1 cl. 10 πῶς τ' ἂν κτλ. | ὅπως om F | ἐπειδὴ F || 9 οἱ] ἢ libri | ὁπηλικοιοῦν BFGP²f || 10 τε H | τοῦτο post πεπερασμένον conlocant FGf | πεπερασμένων f || 11 ὡς οἱ BP¹Q: ὡς FGHP²f | καὶ ///// οὗτοι P | οὗτοι B: οὗτοι ἐξ ὧν ceteri libri. hoc ἐξ ὧν corrector antiquus loco uerborum καὶ οὗτοι legi uoluit || 12 οἱ πηλίκοι F | ποτε om H¹ | ἄπειροι F | ἦν om f || 13 τε] τε ἦν F | ἔχοντες libri: corr. Gassendus | τοῦ πεπερασμένου BP¹Q τὸ ὑποπερασμένον f: τὸ ὑπὸ πεπερασμένου FP² πεπερασμένου H τὸ ὑποπεπερασμένον (-νου corr.) G || 14 θεωρητέον libri | ἔστιν H | μὴ οὐ BP¹Q: μὴ reliqui | ἑξῆς F || 15 τοῦτο BF¹: οὕτω ceteri | κατὰ τὸ] κατὰ H¹ | εἰς] εἰ G | τὸ ἔμπροσθεν Gf || 16 βαδίζοντα libri βαδίζοντες F² | ἄπειρον] ἔμπροσθεν Gf | τὸ suppleuit Schneider

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

ὄντος, ἀλλὰ κατὰ μεταθέσεις. ὅθεν ἀναγκαῖον τὰ δὴ μετατιθέμενα ἄφθαρτα εἶναι καὶ τὴν τοῦ μεταβάλλοντος φύσιν οὐκ ἔχοντα, ὄγκους δὲ καὶ σχηματισμοὺς ἰδίους· τοῦτο
55 γὰρ καὶ ἀναγκαῖον ὑποτιθέναι· καὶ γὰρ ἐν τοῖς παρ' ἡμῖν μετασχηματιζομένοις κατὰ τὴν περιαίρεσιν τὸ σχῆμα ἐνυπάρχον λαμβάνεται, αἱ δὲ ποιότητες οὐκ ἐνυπάρχουσαι ἐν τῷ μεταβάλλοντι, ὥσπερ ἐκεῖνο καταλείπεται, ἀλλ' ἐξ ὅλου τοῦ σώματος ἀπολλύμεναι. ἱκανὰ οὖν τὰ ὑπολειπόμενα ταῦτα τὰς τῶν συγκρίσεων διαφορὰς ποιεῖν, ἐπειδή περ ὑπολείπεσθαί γέ τινα ἀναγκαῖον, οὐκ εἰς τὸ μὴ ὂν φθείρεσθαι.

Ἀλλὰ μὴν οὐδὲ δεῖ νομίζειν πᾶν μέγεθος ἐν ταῖς ἀτόμοις ὑπάρχειν, ἵνα μὴ τὰ φαινόμενα ἀντιμαρτυρῇ· παραλλαγὰς δέ τινας μεγεθῶν νομιστέον εἶναι. βέλτιον γὰρ καὶ τούτου προσόντος τὰ κατὰ τὰ πάθη καὶ τὰς αἰσθή-
56 σεις γινόμενα ἀποδοθήσεται. πᾶν δὲ μέγεθος ὑπάρχειν οὔτε χρήσιμόν ἐστι πρὸς τὰς τῶν ποιοτήτων διαφοράς, ἀφῖχθαί τε ἅμ' ἔδει καὶ πρὸς ἡμᾶς ὁρατὰς ἀτόμους· ὃ οὐ θεωρεῖται γινόμενον, οὐδ' ὅπως ἂν γένοιτο ἔστιν ἐπινοῆ-

---

1 μεταθέσεις. ἐν πολλοῖς· τινῶν δὲ καὶ προσόδους καὶ ἀφόδους VARIA LECTIO
19 γένοιτο ὁρατὴ ἄτομος GLOSSEMA |

1 κατὰ ///// μεταθέ[σεις] cum ras. F | δὴ] μὴ libri, del. H. Weilius || 4 ὑπομένειν· libri || 5 μετασχηματιεζομένοις H[1] σχηματιζομένοις F | προαίρεσιν Gf mg P[2] || 6 ποιότητητες οὐδὲν ὑπάρχουσαι B || 7 ἐκεῖν[ο] F || 8 ἀπολλύμενα B || 10 οὐκ] καὶ libri || 12 μὴν οὐδὲ ([οὐ]δ' B) δεῖ libri μηδὲ δεῖ Gf: corr. Gassendus | νομ[ί]ζειν B || 13 ἀντιμαρτυρεῖν B || 14 νομιστέον . . ναι cum hiatu Q || 15 τούτου] τούτοις Gf, mg γρ P[2] | προσόντος κατὰ τὰ f || 16 γενόμενα B | ὑπάρχον libri || 18 ἀφίχθαι F | τε ἀμέλει (ἀμέλλει H[1]) libri τε ἂν ἔδει ci. H. Weilius | ὃ οὐ] ὃ Gf || 19 οὐθ' ὅπως libri | ἐστὶν libri: corr. Cobetus

20 ἐν πολλοῖς BFHPQs: ἐκ πολλοῦ Gf | προσόδους eraso et supra primam et ultimam uocalem accentu P πρὸς ὅλους B || 21 ἐφόδους f ἀφ' ὅλου B, cum additamento hic loci profecto non genuino cf. Lucretius II 770. ceterum 20 ἐν — 1. 1 μετατιθ. mg F[1] supplet

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

53 γὰρ ἀναφερομένης τινὸς ἐκεῖθεν συμπαθείας οὐκ ἂν γένοιτο ἡ τοιαύτη ἐπαίσθησις. οὐκ αὐτὸν οὖν δεῖ νομίζειν τὸν ἀέρα ὑπὸ τῆς προϊεμένης φωνῆς ἢ καὶ τῶν ὁμογενῶν σχηματίζεσθαι (πολλὴν γὰρ ἔνδειαν ἕξει τοῦτο πάσχειν ὑπ' ἐκείνης), ἀλλ' εὐθὺς τὴν γινομένην πληγὴν ἐν ἡμῖν, ὅταν φωνὴν ἀφίωμεν, τοιαύτην ἔγκλισιν ὄγκων τινὸς ῥεύματος πνευματώδους ἀποτελεστικὴν ποιεῖσθαι, ἣ τὸ πάθος τὸ ἀκουστικὸν ἡμῖν παρασκευάζει. Καὶ μὴν καὶ τὴν ὀσμὴν νομιστέον, ὥςπερ καὶ τὴν ἀκοὴν οὐκ ἄν ποτε οὐθὲν πάθος ἐργάσασθαι, εἰ μὴ ὄγκοι τινὲς ἦσαν ἀπὸ τοῦ πράγματος ἀποφερόμενοι σύμμετροι πρὸς τὸ τοῦτο τὸ αἰσθητήριον κινεῖν, οἱ μὲν τοῖοι τεταραγμένως καὶ ἀλλοτρίως, οἱ δὲ τοῖοι ἀταράχως καὶ οἰκείως ἔχοντες.

54 Καὶ μὴν καὶ τὰς ἀτόμους νομιστέον μηδεμίαν ποιότητα τῶν φαινομένων προσφέρεσθαι πλὴν σχήματος καὶ βάρους καὶ μεγέθους καὶ ὅσα ἐξ ἀνάγκης σχήματι συμφυῆ ἐστι. ποιότης γὰρ πᾶσα μεταβάλλει· αἱ δὲ ἄτομοι οὐδὲν μεταβάλλουσιν, ἐπειδή περ δεῖ τι ὑπομένειν ἐν ταῖς διαλύσεσι τῶν συγκρίσεων στερεὸν καὶ ἀδιάλυτον, ὃ τὰς μεταβολὰς οὐκ εἰς τὸ μὴ ὂν ποιήσεται οὐδ' ἐκ τοῦ μὴ

2 [ἐπ]αίσθησις litteris primis m. 2 adiectis B | οὖν om G ‖ 3 τῆς ῥυιεμένης G | ἢ] εἰ B ‖ 4 ἔνδειαν ἕξει FG$P^2$f: [ἔρ]δειαν ἕ[ξει] in lacuna deinceps a m. 2 et 3 expleta B ἐ•δειαν ἐξει $P^1$ ἕ[ν]δ[ι]αν [ἔχει] cum lituris Q ἔνδειαν ἔχει H | πάσχων $B^2$GHPQf πάσχον $B^1$F: corr. Meibomius ‖ 6 ἔγκλισιν] ἐκλίθην B ἐκλήθην Q$H^2$ ἐκ•••••ν $P^1$: ἐκ FGH$P^2$f | ὄγκων τινὸς B ὄγκων τινῶν $P^1$Q: τινων ὄγκων FGH$P^2$f ‖ 7 ἀποτελεστικῶν libri | ἢ τὸ FQ εἶτα H ‖ 8 ἡμῖν om F ‖ 9 ante ὥσπερ uersus propter dittographiam erasus in F | οὐθὲν πάθος] πάθος οὐθὲν FGf ‖ 10 ἐργάζεσθαι F ‖ 11 πρὸς τὸ FGf: πρὸς BHPQ ‖ 14 καὶ ante τὰς om $H^1$ | νομισθέον sed in mg corr. H ‖ 15 π[λὴν] cum ras. H ‖ 16 σχήματος libri: corr. Kuehnius | σϋμφιῆ Q καὶ συμφυῆ G$P^2$ ‖ 17 ἐστιν H | οὐδὲν f: οὐδὲ libri scripti ‖ 18 δεῖ] ἀεὶ FGf γρ $P^2$ | [ὑ]πομένειν littera a m. 2 suppleta B ὑπομένει FGf γρ $P^2$ | διαλύσεσιν H ‖ 19 συ . . σεων cum fenestra B | καὶ om F ‖ 20 οὐδὲ H

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

τό τε διημαρτημένον οὐκ ἂν ὑπῆρχεν, εἰ μὴ ἐλαμβάνομεν καὶ ἄλλην τινὰ κίνησιν ἐν ἡμῖν αὐτοῖς συνημμένην μὲν ⟨τῇ φανταστικῇ ἐπιβολῇ⟩, διάληψιν δὲ ἔχουσαν· κατὰ δὲ ταύτην, ἐὰν μὲν μὴ ἐπιμαρτυρηθῇ ἢ ἀντιμαρτυρηθῇ, τὸ ψεῦδος γίνεται· ἐὰν δὲ ἐπιμαρτυρηθῇ ἢ μὴ ἀντιμαρτυρηθῇ,
52 τὸ ἀληθές. καὶ ταύτην οὖν σφόδρα γε δεῖ τὴν δόξαν κατέχειν, ἵνα μήτε τὰ κριτήρια ἀναιρῆται τὰ κατὰ τὰς ἐναργείας μήτε τὸ διημαρτημένον ὁμοίως βεβαιούμενον πάντα συνταράττῃ.

Ἀλλὰ μὴν καὶ τὸ ἀκούειν γίνεται ῥεύματός τινος φερομένου ἀπὸ τοῦ φωνοῦντος ἢ ἠχοῦντος ἢ ψοφοῦντος ἢ ὅπως δή ποτε ἀκουστικὸν πάθος παρασκευάζοντος. τὸ δὲ ῥεῦμα τοῦτο εἰς ὁμοιομερεῖς ὄγκους διασπείρεται, ἅμα τινὰ διασῴζοντας συμπάθειαν πρὸς ἀλλήλους καὶ ἑνότητα ἰδιότροπον διατείνουσαν πρὸς τὸ ἀποστεῖλαν, καὶ τὴν ἐπαίσθησιν τὴν ἐπ' ἐκείνου ποιοῦντας, εἰ δὲ μή γε, τὸ ἔξωθεν μόνον ἔνδηλον παρασκευάζοντας· ἄνευ

---

4 ταύτην τὴν συνημμένην τῇ φανταστικῇ ἐπιβολῇ, διάληψιν δὲ ἔχουσαν. GLOSSEMA

16 ἐκείνου ὡς τὸ στόμα GLOSSEMA u. 15 τὸ ἀποστεῖλαν

1 τό τε] τὸ δὲ libri, ac τὸ δὲ ἡμαρτημένον G | ἐλαμβάνωμεν B || 2 μὲν libri: datiuum necessarium ex glossematis p. 12, 13 et 13, 4 suppleui | μὲν .... 3 ἔχουσαν in rasura H || 3 διάλειψιν Ff | κατὰ .... ἔχουσαν (schol.) om f || 4 ἐπιμαρτυριθῇ B ἐμαρτυρηθῇ H$^{1}$ | ἢ ἀντιμαρτυρηθῇ om. addit mg H || 5 γίνεται] εἶναι γίνεται H | ἐπιμαρτυριθῇ et ἀντιμαρτυριθῇ B | μὴ om FG || 6 σφόδρα γε δεῖ] δεῖ σφόδρα F || 7 ἀναιρεῖται F | τὰς] τῆς F | ἐνεργείας libri: corr. Gassendus || 8 βεβαιούμενον] μαρτυρούμενον F | πάντας B || 9 συνταράττει BF συνταράττειν H || 10 τὸ om f | πνεύματός τινος libri: corr. Gassendus || 11 [ἠχ]οῦντος F || 12 κατασκευάζοντος FP$^{3}$f || 13 ὄγκους om f | κατασπείρεται F || 14 τινὰς HQ | διασῴζ[ο]ντας H διασῴζοντα B διασῴζουσα F | ἐμπαθείας H | ἐνότητα Q || 15 ἰδι[ό]τροπ[ον] B | διατείνουσα B | ἀποστεῖλαν H ἀποστεῖλαι G || 16 ἐπ'] ἀπ' Gs | ποιοῦσαν et 17 παρασκευάζουσαν libri

18 διάλειψιν F || 19 ἔχουσαν HP$^{3}$s ἔχουσαι F: ἐχούσης BGP$^{1}$Q | 20 ὡς τὸ (sic BP$^{1}$Q: ὡς τὰ ceteri) πολλὰ libri

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

χρόων τε καὶ ὁμοιομόρφων κατὰ τὸ ἐναρμόττον μέγεθος εἰς τὴν ὄψιν ἢ τὴν διάνοιαν, ὠκέως ταῖς φοραῖς χρωμένων, εἶτα διὰ ταύτην τὴν αἰτίαν τοῦ ἑνὸς καὶ συνεχοῦς 50
τὴν φαντασίαν ἀποδιδόντων καὶ τὴν συμπάθειαν ἀπὸ τοῦ ὑποκειμένου σῳζόντων κατὰ τὸν ἐκεῖθεν σύμμετρον ἐπερεισμὸν ἐκ τῆς κατὰ βάθος ἐν τῷ στερεμνίῳ τῶν ἀτόμων πάλσεως. καὶ ἣν ἂν λάβωμεν φαντασίαν ἐπιβλητικῶς τῇ διανοίᾳ ἢ τοῖς αἰσθητηρίοις εἴ τε μορφῆς εἴ τε συμβεβηκότων, μορφή ἐστιν αὕτη τοῦ στερεμνίου, γινομένη κατὰ τὸ ἑξῆς πύκνωμα ἢ ἐγκατάλειμμα τοῦ εἰδώλου. τὸ δὲ ψεῦδος καὶ τὸ διημαρτημένον ἐν τῷ προσδοξαζομένῳ ἀεί ἐστιν ⟨ἐπὶ τοῦ προσμένοντος⟩ ἐπιμαρτυρηθήσεσθαι ἢ μὴ ἀντιμαρτυρηθήσεσθαι, εἶτ' οὐκ ἐπιμαρτυρουμένου ⟨ἢ ἀντιμαρτυρουμένου⟩· ἥ τε γὰρ ὁμοιότης τῶν φαντασμῶν οἱον ἢ 51
ἐν εἰκόνι λαμβανομένων ἢ καθ' ὕπνους γινομένων ἢ κατ' ἄλλας τινὰς ἐπιβολὰς τῆς διανοίας ἢ τῶν λοιπῶν κριτηρίων οὐκ ἄν ποτε ὑπῆρχε τοῖς οὖσί τε καὶ ἀληθέσι προσαγορευομένοις, εἰ μὴ ἦν τινα καὶ τοιαῦτα προσβαλλόμενα·

---

13 ἐπιμαρτυρουμένου κατά τινὰ κίνησιν ἐν ἡμῖν αὐτοῖς συνημμένην τῇ φανταστικῇ ἐπιβολῇ, διάληψιν δὲ ἔχουσαν, καθ' ἣν τὸ ψεῦδος γίνεται. GLOSSEMA ex 51 p. 13, 2 sq. petitum

1 ὁμοιομορφῶν B ‖ 2 μορφαῖς, sed mg φοραῖς H ‖ 4 ἀποδιδόντος et 5 σώζοντος libri ‖ 6 ἐκ τῆς] ἐν τοῖς H ‖ 7 π[άλσεως] cum ras. B, G: πλάσεως ceteri | ἂν λάβωμεν Gs: ἀναλάβωμεν reliqui ‖ 8 τοῖς στερεμνίοις, sed mg τοῖς αἰσθητηρί(οις) F ‖ 10 πύκλωμα G | ἐγκατάλειμμα τοῦ f: ἐγκαταλείμματος FG ἐνκαταλείμματος B ἐγκαταλήμματος HPQ | εἰδώλων H ‖ 12 hiatum suppleui | ἐπιμαρτυριθήσεσθαι B ἐπιμαρτυρήσεσθαι F | ἢ μὴ ἀντιμαρτ. om Hf, suppleuit mg H | μὴ om F | ἀντιμαρτυριθήσεσθαι B ἀντιμαρτυρήσεσθαι F ‖ 13 alterum colon supplendum erat ‖ 14 οἷον ἢ] οἱονεὶ libri ‖ 15 λαμβανομέν[ων] cum ras. B | γινομένου BP¹Q | κατὰ ἄλλας BG ‖ 18 τοιαῦτα Gassendus: ταῦτα libri | προσβαλλόμενα] πρὸς ὃ (ἃ F) βάλλομεν libri

19 κατὰ τὴν ἀκίνητον libri ‖ 20 [φαν]ταστικῇ F | διάλειψιν F | ἐχούσῃ libri: corr. Gassendus

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

μηθὲν ἀντικόπτειν ἢ ὀλίγα ἀντικόπτειν, πολλαῖς δὲ καὶ
48 ἀπείροις εὐθὺς ἀντικόπτειν τι. πρός τε τούτοις, ὅτι ἡ γένεσις τῶν εἰδώλων ἅμα νοήματι συμβαίνει. καὶ γὰρ ῥεῦσις ἀπὸ τῶν σωμάτων τοῦ ἐπιπολῆς συνεχής, οὐκ ἐπίδηλος τῇ μειώσει διὰ τὴν ἀνταναπλήρωσιν, σῴζουσα τὴν ἐπὶ τοῦ στερεμνίου θέσιν καὶ τάξιν τῶν ἀτόμων ἐπὶ πολὺν χρόνον, εἰ καὶ ἐνίοτε συγχεομένη ὑπάρχει, καὶ συστάσεις ἐν τῷ περιέχοντι ὀξεῖαι διὰ τὸ μὴ δεῖν κατὰ βάθος τὸ συμπλήρωμα γίνεσθαι, καὶ ἄλλοι δὲ τρόποι τινὲς γεννητικοὶ τῶν τοιούτων φύσεών εἰσιν. οὐθὲν γὰρ τούτων ἀντιμαρτυρεῖται ταῖς αἰσθήσεσιν, ἂν βλέπῃ τίς τινα τρόπον τὰς ἐναργείας, τίνα καὶ τὰς συμπαθείας ἀπὸ τῶν ἔξωθεν πρὸς ἡμᾶς ἀνοίσει.

49 Δεῖ δὲ καὶ νομίζειν, ἐπεισιόντος τινὸς ἀπὸ τῶν ἔξωθεν τὰς μορφὰς ὁρᾶν ἡμᾶς καὶ διανοεῖσθαι· οὐ γὰρ ἂν ἐναποσφραγίσαιτο τὰ ἔξω τὴν ἑαυτῶν φύσιν τοῦ τε χρώματος καὶ τῆς μορφῆς διὰ τοῦ ἀέρος τοῦ μεταξὺ ἡμῶν τε κἀκείνων οὐδὲ διὰ τινῶν ἀκτίνων ἢ οἵων δή ποτε ῥευμάτων ἀφ' ἡμῶν πρὸς ἐκεῖνα παραγινομένων οὕτως, ὡς τύπων τινῶν ἐπεισιόντων ἡμῖν ἀπὸ τῶν πραγμάτων ὁμο-

1 μηδὲν G | ἢ ὀλίγα ἀντικ. om BG ‖ 3 νοήματα G ‖ 4 τῶν] τῆς (om. τοῦ) f | ἐπιπολῆς f: ἐπὶ πολλῆς libri sed ἐπιπολλῆς $P^2$ | συνεχὴς mg $P^2$: συνοχῆς libri συνοχὴ f | οὐκ ἐπίδηλος om Ff ‖ 5 τῇ μειώσει] σημειώσει BGHPQ ἢ μειώσει Ff mg $P^2$ | ἀναπλήρωσιν f | σώζου τὴν $P^1Q$ ‖ 7 ὑπάρχει om. supplet mg H ‖ 9 γενητικοὶ F ‖ 10 εἰσί· F | ἀντιμαρτυρεῖ BGHPQf μαρτυρεῖ F: corr. etiam H. Weilius ‖ 11 βλέπουσα τίς F ‖ 12 ἐνεργείας libri: corr. Gassendus | τίνα] ἵνα libri | συνηθείας f ‖ 13 ἀνοίσει B: ἀνοίσῃ FHPQ ἄνεισι: G ἀνοίσῃ . εἰ (omisso statim δὲ) f ‖ 14 ἐπισιόντος F ἐπιστάντος BG | ἔξω F ‖ 15 καὶ om F | γὰρ ἃ μὲν (γὰρ ἂν Gf) ἀποσφραγίσαιτο libri: em. Cobetus ‖ 16 φύσι• B ‖ 17 διὰ] καὶ f om $Q^1$ ‖ 18 τε ἐκείνων $H^1$ | οὐδὲ] οὔτε B | τινῶν] τῶν libri | οἰωνδήποτε $HP^2f$ οἷον δήποτε F: ὧν δήποτε $BGP^1Q$ ‖ 19 ἐκείνου ex ἐκεῖνα corr F | παραγενομένων BFG ‖ 20 ἐπισ[ι]όντων cum litura F ἐπισειόντων G | ἡμ[ῖ]ν B | ὁμοχρόων Rossius commentt. Laert. p. 274: ἀπὸ χροῶν libri

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

θέσιν καὶ βάσιν διατηροῦσαι, ἥν περ καὶ ἐν τοῖς στερεμνίοις εἶχον· τούτους δὲ τοὺς τύπους εἴδωλα προσαγορεύομεν. καὶ μὴν καὶ ἡ διὰ τοῦ κενοῦ φορὰ κατὰ μηδεμίαν ἀπάντησιν τῶν ἀντικοψόντων γινομένη πᾶν μῆκος περιληπτὸν ἐν ἀπερινοήτῳ χρόνῳ συντελεῖ. βράδους γὰρ καὶ τάχους ἀντικοπὴ καὶ οὐκ ἀντικοπὴ ὁμοίωμα λαμβάνει.
οὐ μὴν οὐθ' ἅμα κατὰ τοὺς διὰ λόγου θεωρητοὺς χρό- 47
νους καὶ τὸ φερόμενον σῶμα ἐπὶ τοὺς πλείους τόπους ἀφικνεῖται (ἀδιανόητον γὰρ καὶ τοῦτο), οὔτ' ἀφικνούμενον ἐν αἰσθητῷ χρόνῳ ὅθεν δήποθεν τοῦ ἀπείρου οὐκ ἐξ οὗ ἂν περιλάβωμεν τὴν φορὰν τόπου ἔσται ἀφιστάμενον· ἀντικοπῇ γὰρ ὅμοιον ἔσται, κἂν μέχρι τοσούτου τὸ τάχος τῆς φορᾶς μὴ ἀντικόπτον καταλίπωμεν. χρήσιμον δὴ καὶ τοῦτο κατασχεῖν τὸ στοιχεῖον. εἶθ' ὅτι τὰ εἴδωλα ταῖς λεπτότησιν ἀνυπερβλήτοις κέχρηται, οὐθὲν ἀντιμαρτυρεῖ τῶν φαινομένων· ὅθεν καὶ τάχη ἀνυπέρβλητα ἔχει, πάντα πόρον σύμμετρον ἔχοντα πρὸς τῷ ⟨τῷ⟩ ἀπείρῳ αὐτῶν

1 βάσιν] τάξιν Gassendus ut p. 11, 6 ‖ 3 φορὰ] διαφορὰ G ‖ 4 ἀντικοψάντων libri ‖ 5 βράδους BGH$^1$P$^1$Q: βραδύτητος FH$^2$P$^2$f ‖ 7 οὐθ'] οὐδὲ libri | διαλόγου PQ om F ‖ 8 καὶ τὸ] κατὰ τὸ libri | σῶμα om f ‖ 9 οὔτ' ἀφικνούμενον] συναφικνούμενον BFGPQf συναφικνεῖσθαι H ‖ 10 δήποτε Ff | οὐκ om f ‖ 11 περιλάβομεν F | τὴν φορὰν om H | τόπος f ‖ 12 ἀντικοπὴ F -πὴν f | τοσούτου] τούτου BG | τὸ om H ‖ 13 φ[ορᾶς] hiatum expleuit B$^2$ φθορᾶς f | ἀντικοπεον B ἀντικοπέον GHP$^1$Q ἀντικοπτέον FP$^2$f, an ἀντίκοπον? | καταλίπωμεν .... 14 εἴδωλα] .. λίπτω μέν χρήσ .. [δὴ καὶ τοῦτο καὶ] .. [τὸ στοιχεῖον εἶθ'] .. τὰ εἴδωλα sic B fenestris quantum cancellis saepsi m. 2 clausis | καταλίπωμεν om f | δὴ] δὲ FH$^1$ ‖ 14 εἶθ' FPQ: εἴθ' B$^2$GHf | τὰ] τὰ χρηστὰ Gs ‖ 15 ἀνυπερβλήτως BG | οὐθὲν BHPQ: ὅθεν FGf γρ ὧ (uolebat ὧ οὐθέν) mg P ‖ 16 ὅθεν] ἢ ὅθεν Fs ἢ ὅτι f | τάχει G | ἀπέρβλητα (corr. in mg) H ‖ 17 πρὸς τῷ libri: articulum geminauit Meibomius | τῷ ἀπείρῳ αὐτῶν simulacrorum quae tam tenui filo texturaque rara praedita sint, *facile ut quasuis penetrare queant res* (Lucr. IV 191 sqq.). hoc quomodo πολλοῖς καὶ ἀπείροις scriptor opponat, intellegas ex Lucr. IV 70 *et multo citius, quanto minus indupediri pauca queant* | αὐτῶν om F

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

45 Ἡ τοσαύτη δὴ φωνὴ τούτων πάντων μνημονευομένων τὸν ἱκανὸν τύπον ὑποβάλλει ⟨ταῖς περὶ⟩ τῆς τῶν ὄντων φύσεως ἐπινοίαις.

Ἀλλὰ μὴν καὶ κόσμοι ἄπειροι εἰσὶν οἵ θ' ὅμοιοι τούτῳ καὶ οἱ ἀνόμοιοι. αἵ τε γὰρ ἄτομοι ἄπειροι οὖσαι, ὡς ἄρτι ἀπεδείχθη, φέρονται καὶ πορρωτάτω. οὐ γὰρ καταν-ήλωνται αἱ τοιαῦται ἄτομοι, ἐξ ὧν ἂν γένοιτο κόσμος ἢ ὑφ' ὧν ἂν ποιηθείη, οὔτ' εἰς ἕνα οὔτ' εἰς πεπερασμένους, οὔθ' ὅσοι τοιοῦτοι οὔθ' ὅσοι διάφοροι τούτοις. ὥστε οὐδὲν τὸ ἐμποδοστατῆσόν ἐστι πρὸς τὴν ἀπειρίαν τῶν κόσμων.

46 Καὶ μὴν καὶ τύποι ὁμοιοσχήμονες τοῖς στερεμνίοις εἰσί, λεπτότησιν ἀπέχοντες μακρὰν τῶν φαινομένων. οὔτε γὰρ ἀποστάσεις ἀδυνατοῦσιν ἐν τῷ περιέχοντι γίνεσθαι τοιαῦται οὔτ' ἐπιτηδειότητες πρὸς κατεργασίας τῶν κοιλωμάτων καὶ λειοτήτων γίνεσθαι, οὔτε ἀπόρροιαι τὴν ἑξῆς

---

τινα περὶ τὰς ἀτόμους εἶναι πλὴν σχήματος καὶ μεγέθους καὶ βάρους· τὸ δὲ χρῶμα παρὰ τὴν θέσιν τῶν ἀτόμων ἀλλάττεσθαι ἐν ταῖς δώδεκα στοιχειώσεσι φησί. πᾶν τε μέγεθος μὴ εἶναι περὶ αὐτάς [cf. infra 55]· οὐδέποτε γοῦν ἄτομος ὤφθη αἰσθήσει [cf. 56]. SCHOLION

1 ἡ τοσαύτη δὴ BPQ ἡ τοσαύτη δὲ G: αὕτη δ' ἡ FHf, γρ mg P[2] | τούτων suspectum, ceterum cf. § 68 || 2 ἀποβάλλει H[1] | ταῖς περὶ inserui || 3 ἐπινοίας f || 4 εἰσὶ F | οἵθ' B[2]GHPQ: εἴθ' B[1]Ff | τοῦτο B || 5 καὶ οἱ GHPQ καὶ BF: εἴτ' f | οὖσαι ὡς εἴρηται καὶ (om. φέρονται) F || 6 κατηνάλωνται FP[2]f || 7 ἐξ οὗ f || 9 ὅσοσ διάφοροι Q || 10 ἐμποδοστατῆσον GQ mg H ἐνποδοστατῆσον B: ἐμποδίζον FHf et in ampliore litura P[2] | ἀπορίαν G | τῶν] τῶν τοιούτων FHP[2]f || 12 τοῖς] ταῖς P[2]H || 14 συστάσεις I. Lachelier *revue de philol.* 1 p. 265 ut p. 11, 7 non recte || 15 οὔτε Ff | ἐπιτηδειότατες (sed η super α scr.) F | πρὸς] τοὺς BP[1]Q mg H: τὰς FHP[2]f ταῖς G | κατ' ἐργασίας P[1]Q κατεργασίαις G || 16 καὶ λεπτοτήτων libri | γίνεσθαι suspectum

18 παρὰ] περὶ HQ || 19 δώδεκα Ff: ιβ ceteri || 20 γοῦν] οὖν f

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

οὐχ ἁπλῶς ἄπειροι ἀλλὰ μόνον ἀπερίληπτοι. Κινοῦνταί 43
τε συνεχῶς αἱ ἄτομοι τὸν αἰῶνα * * καὶ αἱ μὲν εἰς μακρὰν ἀπ' ἀλλήλων διιστάμεναι, αἱ δὲ αὐτὸν τὸν παλμὸν ἴσχουσιν, ὅταν τύχωσι τῇ περιπλοκῇ κεκλιμέναι ἢ στεγαζόμεναι παρὰ τῶν πλεκτικῶν. ἥ τε γὰρ τοῦ κενοῦ φύσις 44
ἡ διορίζουσα ἑκάστην αὐτὴν τοῦτο παρασκευάζει, τὴν ὑπέρεισιν οὐχ οἵα τε οὖσα ποιεῖσθαι· ἥ τε στερεότης ἡ ὑπάρχουσα αὐταῖς κατὰ τὴν σύγκρουσιν τὸν ἀποπαλμὸν ποιεῖ, ἐφ' ὁπόσον ἂν ἡ περιπλοκὴ τὴν ἀποκατάστασιν ἐκ τῆς συγκρούσεως διδῷ. ἀρχὴ δὲ τούτων οὐκ ἔστιν, ἀιδίων τῶν ἀτόμων οὐσῶν καὶ τοῦ κενοῦ.

---

1 ἀπερίληπτοι. οὐδὲ γάρ φησιν ἐνδοτέρω [infra § 56] εἰς ἄπειρον τὴν τομὴν τυγχάνειν, λήγειν δέ, ἐπειδὴ αἱ ποιότητες μεταβάλλονται, εἰ μέλλει τις μὴ καὶ τοῖς μεγέθεσιν ἁπλῶς εἰς ἄπειρον αὐτὰς ἐκβάλλειν [cf. § 57]. SCHOLION

2 αἱ ἄτομοι. φησὶ δ' ἐνδοτέρω [infra § 61] καὶ ἰσοταχῶς αὐτὰς κινεῖσθαι τοῦ κενοῦ τὴν εἶξιν ὁμοίαν παρεχομένου καὶ τῇ κουφοτάτῃ καὶ τῇ βαρυτάτῃ. SCHOLION

11 τοῦ κενοῦ. φησὶ δ' ἐνδοτέρω [infra § 54] μηδὲ ποιότητά

1 ἀπερίληπται BGHs, γρ P² mg: ἀπειρίληπτοι P¹Q ἀπειρία ληπτοὶ FP²f || 2 τὸν αἰῶνα] εἰς τὸν αἰῶνα mg H, s | hiatum scholion insertum procreauit. duplex enim motus distinguendus erat, is quo atomi pondere suo deorsum feruntur et is qui conlisione gignitur, qui nunc solus respicitur. uide Lucr. II 83 sqq. | εἰς delebat Gassendus || 3 διισταμέναι B | αἱ δὲ τὸν ἀποπαλμόν ci. Schneiderus | αὐτὸν] fort. αὖ || 4 ἴσχουσαι conicias, uereor ut recte | τὴν περιπλοκὴν libri || 5 παρὰ G neque aliud π̈ F testatur: περὶ BHPQf | πληκτικῶν F || 6 αὐτὴν libri integri: αὐτῶν G ut coni. Schneider ἄτομον Meibomius || 7 στερότης P¹Q | ἡ πάρχουσα G || 8 αὐτοῖς F | σύνκρουσιν B σύγκρισιν articulo omisso f || 9 περιπλ[ο]κὴ cum litura B || 10 συνκρούσεωσ B¹ | fort. οὐκ ἔστιν ⟨οὐδὲ τέλος⟩ | αἰτίων libri, nisi quod αἰτιῶν P¹Q: corr. Henr. Weilius

13 ἄπειρα H | λήγειν] λέγει libri: λήγει CFHermannus *ztschr. f. d. alterthumsw.* 1834 p. 110 || 14 μέλλοι BG | ἁπλῶς om F || 16 δ' BG: δὲ FHPQ δὲ παρερχομένου f || 17 κινεῖν f | ἔξιν aut ἴξιν (sic P¹Q) libri: corr. Kuehnius | παρεχομένου ὁμοίαν F | παρεχομένου κ. τ. κουφ. om f

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

ἀμετάβλητα, εἴπερ μὴ μέλλει πάντα εἰς τὸ μὴ ὂν φθαρήσεσθαι ἀλλ' ἰσχύειν τι ὑπομένειν ἐν ταῖς διαλύσεσι τῶν συγκρίσεων, πλήρη τὴν φύσιν ὄντα, οὐκ ἔχοντα ὅπῃ ἢ ὅπως διαλυθήσεται. ὥστε τὰς ἀρχὰς ἀτόμους ἀναγκαῖον εἶναι σωμάτων φύσεις.

Ἀλλὰ μὴν καὶ τὸ πᾶν ἄπειρόν ἐστι. τὸ γὰρ πεπερασμένον ἄκρον ἔχει· τὸ δὲ ἄκρον παρ' ἕτερόν τι θεωρεῖται. ὥστε οὐκ ἔχον ἄκρον πέρας οὐκ ἔχει· πέρας δὲ οὐκ ἔχον ἄπειρον ἂν εἴη καὶ οὐ πεπερασμένον. Καὶ μὴν καὶ τῷ πλήθει τῶν σωμάτων ἄπειρόν ἐστι τὸ πᾶν καὶ
42 τῷ μεγέθει τοῦ κενοῦ. εἴ τε γὰρ ἦν τὸ κενὸν ἄπειρον, τὰ δὲ σώματα ὡρισμένα, οὐδαμοῦ ἂν ἔμενε τὰ σώματα, ἀλλ' ἐφέρετο κατὰ τὸ ἄπειρον κενὸν διεσπαρμένα, οὐκ ἔχοντα τὰ ὑπερείδοντα καὶ στέλλοντα κατὰ τὰς ἀνακοπάς. εἴ τε τὸ κενὸν ἦν ὡρισμένον, οὐκ ἂν εἶχε τὰ ἄπειρα σώματα ὅπου ἐνέστη.

Πρός τε τούτοις τὰ ἄτομα τῶν σωμάτων καὶ μεστά, ἐξ ὧν καὶ αἱ συγκρίσεις γίνονται καὶ εἰς ἃ διαλύονται, ἀπερίληπτά ἐστι ταῖς διαφοραῖς τῶν σχημάτων· οὐ γὰρ δυνατὸν γενέσθαι τὰς τοσαύτας διαφορὰς ἐκ τῶν αὐτῶν σχημάτων περιειλημμένων. Καὶ καθ' ἑκάστην δὲ σχημάτισιν ἁπλῶς ἄπειροί εἰσιν αἱ ὅμοιαι, ταῖς δὲ διαφοραῖς

1 μέλλοι GH et fort. F ‖ 2 ἰσχύοντα ὑπομένειν libri ‖ 3 ὄντα] ὅταν libri: ὄντα, καὶ Meibomius ‖ 4 δια[λυ]θήσεται cum litura rec B | ἀναγκαίως BG ‖ 5 φύσεις] τὰς φύσεις G ‖ 6 τὸ πᾶν . . . 7 ἔχει rubrica Lucreti ad I 951 p. 249 Lachm. ‖ 7 sq. cf. Philod. π. σημ. p. 31 Gomp. | τὸ δὲ FHPQf: τὸ γὰρ BG ‖ 8 ὥστε τὸ οὐκ f | ἔχον scilicet τὸ πᾶν, quode disputatur ‖ 9 καὶ μὴν omissum supplet mg H ‖ 12 οὐθαμοῦ $P^1$Q | ἀνέμενε B ‖ 13 ἀλλὰ BG ‖ 14 καὶ om G | συστέλλοντα mg rec B Sambucus συτέλλοντα G ‖ 16 ἐνέστη BFG$P^3$f: ἔνεστι H$P^1$Q ‖ 17 πρός τε FHPQf: πρὸς BG ‖ 18 συνκρίσεισ pr B ‖ 20 τὰς om F | αὐτῶν om Gf ‖ 21 περιειλημμένον sed ω sscr F | σχημάτησιν BF ‖ 22 αἱ ὅμοιαι BG αἱ ὁμοῖαι PQs αἱ ὁμαῖαι H: ἄτομοι Ff, γρ $P^3$ mg

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

διελύετο. Καὶ μὴν καὶ τὸ πᾶν ἀεὶ τοιοῦτον ἦν οἷον νῦν ἐστι, καὶ ἀεὶ τοιοῦτον ἔσται. οὐθὲν γάρ ἐστιν εἰς ὃ μεταβαλεῖ. παρὰ γὰρ τὸ πᾶν οὐθέν ἐστιν, ὃ ἂν εἰσελθὸν εἰς αὐτὸ τὴν μεταβολὴν ποιήσαι.

Ἀλλὰ μὴν καὶ τὸ πᾶν ἐστι ⟨σώματα καὶ τόπος⟩· σώματα μὲν γὰρ ὡς ἔστιν, αὐτὴ ἡ αἴσθησις ἐπὶ πάντων μαρτυρεῖ, καθ' ἣν ἀναγκαῖον τὸ ἄδηλον τῷ λογισμῷ τεκμαίρεσθαι, ὥσπερ προεῖπον. τόπος δὲ εἰ μὴ ἦν, ὃν κε- 40
νὸν καὶ χώραν καὶ ἀναφῆ φύσιν ὀνομάζομεν, οὐκ ἂν εἶχε τὰ σώματα ὅπου ἦν οὐδὲ δι' οὗ ἐκινεῖτο, καθάπερ φαίνεται κινούμενα. παρὰ δὲ ταῦτα οὐθὲν οὐδ' ἐπινοηθῆναι δύναται οὔτε περιληπτικῶς οὔτε ἀναλόγως τοῖς περιληπτοῖς, ὅσα καθ' ὅλας φύσεις λαμβάνομεν καὶ μὴ ὡς τὰ τούτων συμπτώματα η συμβεβηκότα λέγομεν. Καὶ μὴν καὶ τῶν σωμάτων τὰ μέν ἐστι συγκρίσεις, τὰ δ' ἐξ ὧν
αἱ συγκρίσεις πεποίηνται· ταῦτα δέ ἐστιν ἄτομα καὶ 41

5 ἀλλὰ μὴν καὶ τοῦτο καὶ ἐν τῇ μεγάλῃ ἐπιτομῇ φησι κατ' ἀρχὴν καὶ ἐν τῇ ᾱ περὶ φύσεως. SCHOLION

14 καὶ μὴν καὶ ταὐτὸν τοῦτο καὶ ἐν τῇ πρώτῃ περὶ φύσεως καὶ τῇ ιδ̄ καὶ ιε̄ καὶ τῇ μεγάλῃ ἐπιτομῇ. SCHOLION

2 ἐστιν FQ | μεταβάλλει libri ‖ 4 ποιήσαι] ποιήσαιτο (-σετο B) libri ‖ 5 ἐστι· σώματα μὲν FH$P^2$f ἐστι σῶμα· τὰ μὲν BG$P^1$Qs ‖ 6 αὐτὴ] καὶ αὐτή Gs ‖ 7 τὸ ante ἄδηλον om F | τῶν λογισμῶν H ‖ 8 προεῖπον scilicet supra p. 5, 6—10 | προεῖπον τὸ πρόσθεν· εἰ μὴ libri | ὃν] ὂν FHPQ ὃ BGf ‖ 10 ἦν BG: ἔνι Q ἐ• $P^1$ εἴη FH$P^2$f | οὐδὲν δ' ἐκινεῖτο f ‖ 11 παρὰ δὲ in rasura B περὶ δὲ HQ | οὐδ'] οὔτε libri, sed ὅτε pr B ‖ 12 περιληπτῶς libri ‖ 13 ὅσα] ὡς libri | λαμβανόμενα et 14 λεγόμενα libri ‖ 15 καὶ del. $B^2$ om G | τῶν .... 16 πεποίηνται Philodemus de piet. p. 136, 8 Gomp. | τῶν om BG$P^1$ | συνκρίσεις (idem l. 16) $B^1$ σύγκρισις H$P^1$Q

17 ἀλλὰ μὴν .... 18 ἀρχὴν om f | καὶ ἐν] ἐν F ‖ 18 καὶ ἐν] ἐν H | ᾱ BHPQ: πρώτῃ Ff ‖ 19 ταυτὸν FH$P^2$f: τῶν $B^1$ ($P^1$?) Q del. $B^2$ om G | τούτῳ $P^2$Hf | καὶ ἐν] ἐν F ‖ 20 καὶ] φησὶ καὶ ἐν Gassendus | καὶ ιε̄ BGH$P^1$Q καὶ πεντεκαιδεκάτῃ f: καὶ τῇ ιε̄· F$P^2$

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

μενα ἢ ἀπορούμενα ἔχωμεν εἰς ταῦτα ἀναγαγόντες ἐπι-
κρίνειν, καὶ μὴ ἄκριτα πάντα ἡμῖν ⟨ἴῃ⟩ εἰς ἄπειρον ἀπο-
38 δεικνύουσιν ἢ κενοὺς φθόγγους ἔχωμεν. ἀνάγκη γὰρ τὸ
πρῶτον ἐννόημα καθ' ἕκαστον φθόγγον βλέπεσθαι καὶ μη-
θὲν ἀποδείξεως προσδεῖσθαι, εἴπερ ἕξομεν τὸ ζητούμενον
ἢ ἀπορούμενον καὶ δοξαζόμενον ἐφ' ὃ ἀνάξομεν. ἔπειτα
κατὰ τὰς αἰσθήσεις δεῖ πάντα τηρεῖν καὶ ἁπλῶς τὰς παρ-
ούσας ἐπιβολὰς εἴ τε διανοίας εἴ θ' ὅτου δή ποτε τῶν
κριτηρίων, ὁμοίως δὲ καὶ τὰ ὑπάρχοντα πάθη, ὅπως ἂν
καὶ τὸ προσμένον καὶ τὸ ἄδηλον ἔχωμεν οἷς σημειω-
σόμεθα.

Ταῦτα δεῖ διαλαβόντας συνορᾶν ἤδη περὶ τῶν ἀδή-
λων· πρῶτον μὲν ὅτι οὐδὲν γίνεται ἐκ τοῦ μὴ ὄντος.
πᾶν γὰρ ἐκ παντὸς ἐγίνετ' ἂν σπερμάτων γε οὐθὲν προσ-
39 δεόμενον. καὶ εἰ ἐφθείρετο δὲ τὸ ἀφανιζόμενον εἰς τὸ μὴ
ὄν, πάντα ἂν ἀπωλώλει τὰ πράγματα, οὐκ ὄντων εἰς ἃ

1 ἔχομεν F ut l. 3 | εἰς ταῦτα ἀναγαγόντες ἐπικρίνειν B$^{1}$ ut ceteri, deleuit et litteris partim paene euanidis πάντα ἢ ἀπατώμενα ἔχωμεν εἰς ἃ ἀναγαγόντες ἐπικρίνειν scripsit B$^{2}$ | ταῦτα] ἃ B$^{2}$ ὃ edebatur ante Nuernbergerum | ἀνάγοντες F$^{1}$f || 2 ἡμῖν libri integri: ἡμῖν ἢ G ut coniecit Roeperus Philol. t. 1 p. 662 cf. III p. 25 | ἀποδεικνύουσιν GHPQ Ambrosius: ἀποδεικνύωσιν BFf || 3 ἢ om B$^{1}$ || 4 μηθὲν BGHP$^{2}$f: μηδὲν FP$^{1}$Q || 6 καὶ δοξαζόμενον addit mg F$^{2}$ | ἀνά[ξο]μεν ex ἀνά·ωμεν corr rec B | ἔπειτα] εἶτε libri εἶτα Gassendus, nisi praestat ἔπειτεν scribere || 7 πάντα om F | τὰς] κατὰ τὰς Gassendus || 8 ἐπιβουλὰς G | ὅτου δήποτε libri: ὀδήποτε f ὁτιδήποτε Schneiderus || 9 καὶ τὰ] καὶ κατὰ τὰ Gassendus || 10 προσμένον FGHP$^{2}$f: προσμενόμενον BP$^{1}$Q | ἔχομεν B$^{1}$F | οἷς in litura rec B | σημειωσώμεθα GHP$^{1}$Q [ση]μειωσώμεθα cum rec. litura B || 12 δεῖ Cobetus: δὲ libri, omisit unus G | διαλαβόντ[α]ς cum litura H | [συν]ορᾶν cum rec. rasura B | ἤδη] δεῖ Gassendus ἤδη δεῖ Meibomius || 13 γένηται B || 14 ἐγίνετο F ἐγίνετ' fort. ex ἐγένετ' corr P$^{2}$ γένοιτ' Q | οὐθὲν FHPQ: οὐδὲν BGf || 15 δὲ om FH$^{1}$ || 16 ἀπωλώλει HPQ: ἀπολώλει FGf ἀπολώλη B | ὄντων F ut uoluerat Iacobitzius apud Huebnerum p. 744: ὄντων τῶν ceteri libri

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf

πᾶν ἐξευρήσεται, τῶν ὁλοσχερωτάτων τύπων εὖ περιειλημμένων καὶ μνημονευομένων· ἐπεὶ καὶ τοῦ τετελεσιουργημένου τοῦτο κυριώτατον τοῦ παντὸς ἀκριβώματος γίνεται, τὸ ταῖς ἐπιβολαῖς ὀξέως δύνασθαι χρῆσθαι, ἑκάστων πρὸς ἁπλᾶ στοιχειώματα καὶ φωνὰς ἀναγομένων. οὐ γὰρ οἷόν τε τὸ πύκνωμα τῆς συνεχοῦς τῶν ὅλων περιοδείας εἶναι μὴ δυναμένου διὰ βραχεῶν φωνῶν ἅπαν ἐμπεριλαβεῖν ἐν αὑτῷ τὸ καὶ κατὰ μέρος ἂν ἐξακριβωθέν. Ὅθεν 37 δὴ πᾶσι χρησίμης οὔσης τοῖς ᾠκειωμένοις φυσιολογίᾳ τῆς τοιαύτης ὁδοῦ, παρεγγυῶν τὸ συνεχὲς ἐνέργημα ἐν φυσιολογίᾳ καὶ τοιούτῳ μάλιστα ἐγγαληνίζων τῷ βίῳ ἐποίησά σοι καὶ τοιαύτην τινὰ ἐπιτομὴν καὶ στοιχείωσιν τῶν ὅλων δοξῶν.

Πρῶτον μὲν οὖν τὰ ὑποτεταγμένα τοῖς φθόγγοις, ὦ Ἡρόδοτε, δεῖ εἰληφέναι, ὅπως ἂν τὰ δοξαζόμενα ἢ ζητού-

1 ἐξευρεθήσεται Meibomius | ὁλοσχερεστάτων Gassendus cf. ad p. 3, 5 | τύπων FGHf τῶν τύπων BPQ τύπῳ Nuernberger | εὖ περιειλημμένων FHPQ εὐπεριειλημμένων B ἐνπεριειλημμένων f ἐμπεριειλημμένων Gs || 2 τελεσιουργημένου Ff. cf. 83 τῶν ἀποτελουμένων || 3 τοῦτε H | ἀκριβωμένου f || 4 χρῆσθαι om f | ἑκάστων] καὶ libri || 5 ἁπλά ex ἁπλᾶ corr F | ἀναγομένων] συναγομένων libri, ante φωνὰς G || 6 περιοδίας BGHPQ || 7 δυνάμενον libri: correxit Aemilius Thomas | βραχέων libri || 8 αὐτῷ libri: corr. Schneider | τὸ FGHPQ: ὃν B | καὶ κατὰ BGHPQs καὶ τὸ κατὰ F: κατὰ f | ἀνεξακριβωθὲν $HP^{1}Q$ ἐξακρι[βεῖν ἐν αὐτῷ· τὸ καὶ ἂν ἐξακρι]βωθὲν G deletis eis quae inclusi | ὅθεν om $B^{1}$ | 9 δὴ] δὲ H || 10 παρεγγυῶν τὸ $QH^{2}$ παρεγγυῶντ $P^{1}$ παρεγγυ[ῶν] τὸ cum rasura B παρεγγυῶ τὸ Gs: παρεγγυώντων $FH^{1}P^{2}f$ | ἐνέργημα Ff: ἐνάργημα BGHPQ | ἐν in litura H || 11 τοιούτῳ] τὸ τούτων BFGHPQ τῷ τούτῳ f τούτῳ τὸ Aldobrandinus τῷ τοιούτῳ GHermannus ap. Huebnerum p. 744 | ἐνταληνίζων τῷ $B^{1}$: ἐνταληνίζον τῷ $B^{2}$ ἐνγαληνίζον τῷ $P^{1}Q$ ἐγγαληνίζοντῷ $FH^{2}$ ἐνταλανίζον τῷ G: ἐγγαληνιζώντων $H^{1}$ ἐγγαληνιζόντων $P^{2}f$ | ἐποίησά σοι] ποιήσασθαι libri. cf. Galenus t. II p. 218 Kuehn. τότε γοῦν ἐποίησα καὶ τὰς ἀνατομικὰς ἐγχειρήσεις τῷ Βοηθῷ || 15 δεῖ διειληφέναι Cobetus

Fichier issu d'une page EMAN : http://eman-archives.org/Epicurei/items/show/12?context=pdf